UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1873

12. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2520

Visual Library

# ΙΛΙΑΔΟϹ Μ.

Ὣϲ ὃ μὲν ἐν κλιϲίῃϲι Μενοιτίου ἄλκιμοϲ υἱὸϲ
ἰᾶτ᾽ Εὐρύπυλον βεβλημένον· οἳ δὲ μάχοντο
Ἀργεῖοι καὶ Τρῶεϲ ὁμιλαδόν. οὐδ᾽ ἄρ᾽ ἔμελλε
τάφροϲ ἔτι ϲχήϲειν Δαναῶν καὶ τεῖχοϲ ὕπερθεν
εὐρύ, τὸ ποιήϲαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
ἤλαϲαν, οὐδὲ θεοῖϲι δόϲαν κλειτὰϲ ἑκατόμβαϲ,
ὄφρά ϲφιν νῆάϲ τε θοὰϲ καὶ ληίδα πολλὴν
ἐντὸϲ ἔχον ῥύοιτο· θεῶν δ᾽ ἀέκητι τέτυκτο
ἀθανάτων· τὸ καὶ οὔ τι πολὺν χρόνον ἔμπεδον ἦεν.
ὄφρα μὲν Ἕκτωρ ζωὸϲ ἔην καὶ μήνι᾽ Ἀχιλλεὺϲ
καὶ Πριάμοιο ἄνακτοϲ ἀπόρθητοϲ πόλιϲ ἔπλε,
τόφρα δὲ καὶ μέγα τεῖχοϲ Ἀχαιῶν ἔμπεδον ἦεν.
αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων θάνον ὅϲϲοι ἄριϲτοι,
πολλοὶ δ᾽ Ἀργείων οἳ μὲν δάμεν, οἳ δὲ λίποντο,
πέρθετο δὲ Πριάμοιο πόλιϲ δεκάτῳ ἐνιαυτῷ,
Ἀργεῖοι δ᾽ ἐν νηυϲὶ φίλην ἐϲ πατρίδ᾽ ἔβηϲαν,
δὴ τότε μητιόωντο Ποϲειδάων καὶ Ἀπόλλων
τεῖχοϲ ἀμαλδῦναι, ποταμῶν μένοϲ εἰϲαγαγόντεϲ,
ὅϲϲοι ἀπ᾽ Ἰδαίων ὀρέων ἅλα δὲ προρέουϲι,

V. L. 1 ὃ μὲν C. κλιϲίῃ G. — 2 οἳ L. οἵδ᾽ CH. δὲ μάχοντο AGS Harl. Mosc. 2. ceteri δ᾽ ἐμάχοντο cum Ambrosiano. — 3 τρῷεϲ L. ἂρ DEGL. ἀρ A. ΑΡ᾽ Ambros. ἔμελλε A Ambr. CDEGH. — 5 ἀμφι D. ΑΜΦΙΤΕ Ambros. 1. man., nunc ΔΕ. — 7 ὄφρά ACDGH. ϲφι DG. — 8 ἔχω̊ν H. — 9 τῶ καὶ C Vrat. b. A. Flor. τό κεν Townl. τὸ καὶ ADG HLS Cant. Barocc. Mor. Lips. Harl. Mosc. 2. Apollon. de Synt. 289, 8; de Adverb. 613, 25. Apoll. Lex. 153, 29. — 10 ἀχϊλεὺϲ C. — 11 ἔπλε A Ambr. CS. ἔπλεν EH Rhet. Gr. III, 103, 20. ἔπλευ DG. ἦεν L. — 12 δε C. μέγα omitt. G. — 13 κατα C 1. man. τρώων L. ὅϲοι D. — 14 οἵδ᾽ D. οἵδ᾽ CHL. δὲ λίποντο AES Lips. Mosc. 2. Rhet. Gr. III, 103, 23. ceteri δ᾽ ἐλίποντο cum Ambrosiano et Schol. O 2. — 16 ἐϲ πατρίδα γαῖαν ἔβηϲαν D. — 17 τότε δηριόωντο Et. Mg. 266, 40. τότ᾽ ἐδηριόωντο Zonar. Lex. 500. libri τότε μητιόωντο cum Apoll. de Coni. 524, 1. ποϲιδάων A. — 18 εἰϲάγοντεϲ G. — 19 ἅλα δὲ AD. προρέουϲι ACEGH: προρέουϲιν Ambr. DL Schol. in Plat. Euthyphr. 3 C.

A. c. 11 οὕτωϲ ἀρίϲταρχοϲ ἔπλε Didymus, quod Bekkerus mutavit in ἔπλεν, fortasse deceptus Scholio V Ἀρίϲταρχοϲ ἔπλεν ϲὺν τῷ ν̄ ἐκ τοῦ ἔπελεν ϲυγκοπὴν δεχόμενοϲ. Ζηνόδοτοϲ ἔπλε. ἀποκοπὴ τοῦ ἔπλετο, cuius fides est nulla. etiam Nicanor laudat ἔπλε. de ν̄ paragogico conf. H. U. 162.

Ῥῆϲόϲ θ' Ἑπτάπορόϲ τε Κάρηϲόϲ τε Ῥοδίοϲ τε
Γρήνικόϲ τε καὶ Αἴϲηποϲ δῖόϲ τε Ϲκάμανδροϲ
καὶ Ϲιμόειϲ, ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
κάππεϲον ἐν κονίῃϲι καὶ ἡμιθέων γένοϲ ἀνδρῶν·
τῶν πάντων ὁμόϲε ϲτόματ' ἔτραπε Φοῖβοϲ Ἀπόλλων,
ἐννῆμαρ δ' ἐϲ τεῖχοϲ ἵει ῥόον· ὗε δ' ἄρα Ζεὺϲ
ϲυνεχέϲ, ὄφρά κε θᾶϲϲον ἁλίπλοα τείχεα θείη.
αὐτὸϲ δ' ἐννοϲίγαιοϲ ἔχων χείρεϲϲι τρίαιναν
ἡγεῖτ', ἐκ δ' ἄρα πάντα θεμείλια κύμαϲι πέμπε
φιτρῶν καὶ λάων, τὰ θέϲαν μογέοντεϲ Ἀχαιοί,
λεῖα δ' ἐποίηϲεν παρ' ἀγάῤῥοον Ἑλλήϲποντον,
αὖτιϲ δ' ἠιόνα μεγάλην ψαμάθοιϲι κάλυψε,
τεῖχοϲ ἀμαλδύναϲ· ποταμοὺϲ δ' ἔτρεψε νέεϲθαι
κὰρ ῥόον, ᾗ περ πρόϲθεν ἵεν καλλίῤῥοον ὕδωρ.
ὣϲ ἄρ' ἔμελλον ὄπιϲθε Ποϲειδάων καὶ Ἀπόλλων
θηϲέμεναι· τότε δ' ἀμφὶ μάχη ἐνοπή τε δεδήει
τεῖχοϲ ἐύδμητον, κανάχιζε δὲ δούρατα πύργων
βαλλόμεν'. Ἀργεῖοι δὲ Διὸϲ μάϲτιγα δαμέντεϲ
νηυϲὶν ἔπι γλαφυρῇϲιν ἐελμένοι ἰϲχανόωντο,
Ἕκτορα δειδιότεϲ, κρατερὸν μήϲτωρα φόβοιο.

---

V. ι. 20 θ' omitt. L. κάρηϲϲόϲ D. ῥόδιόϲ CDHL. — 21 κάμανδροϲ GL Mor. Barocc. — 25 ἵει G. ἱει D. ὕε G. — 26 ϲυννεχὲϲ A Harl. Schol. Μ 12. ὄφρά κε ACH. — 28 θεμέλια G. πέμπε ACDEGHL. — 30 ἐποίηϲε C 1. man. EG. ἐποίηϲαν Vrat. b. 1. man. ἑλήϲποντον G. — 31 αὖθιϲ C. κάλυψε AGH. — 32 ἔϲτρεψε Schol. Μ 33. — 33 κὰρ ῥόον EH: καῤῥόον A. καρρόον CDG Apoll. Lex. 95, 28. καῤῥόον L Harl. Lips. Mosc. 2. Et. Mg. 467, 22. ἵεν GH. ἱεν D. ἶη A. γρ. καὶ ἶεν A. καλλίροον C Lips. — 34 ὡϲ A. ἂρ DE bis L. ἔμελλεν H. ποϲιδάων A. — 35 ἀμφι DHL. δεδήει E ter H. — 36 εὔδμητον G. — 38 ἐπὶ ACDEGHL. γλαφυρῇϲι G. ἐελμένοι ADH 1. man. S. Apoll. Lex. 62, 31: ἐεργμένοι CE 891, 27 GH sup. Barocc. Mor. Harl. Vrat. in litura. ἐεργμένοι ἢ ἐελμένοι E 891, 24 et 29. — 39 δειδιότεϲ κρατερὸν. μήϲτωρα A.

---

A. c. 20 Aristarchus Κάρηϲοϲ: Καρηϲόϲ Tyrannio, conf. Eust. 890, 2. τὸ Κάρηϲοϲ ἓν ἔχει τὸ ϲ̄ Herodianus. Ῥοδίοϲ Herodianus, conf. Eust. 890, 7. — 25 ἐννῆμαρ: ἓν δ' ἦμαρ Callistratus teste Schol. B. τὸ δὲ ἐννῆμαρ τινὲϲ δι' ἑνὸϲ γράφουϲι νῦ καὶ δαϲύνουϲιν ὧν καὶ ὁ Μαλλώτηϲ Κράτηϲ ἐϲτίν Eust. 890, 35. — 26 ϲυνεχὲϲ: ἀρίϲταρχοϲ καὶ ἀριϲτοφάνηϲ διὰ τοῦ ἑτέρου ν̄ Didymus. — 30 οὕτωϲ ἀρίϲταρχοϲ ἐποίηϲεν Didymus. — 33 variat scriptura inter ἵεν, ἴεν et ἵει, conf. Herod. ad h. l., qui ἵει praefert, ἴεν vero reicit. vide Et. Mg. 467, 22. Eust. 891, 13. ἡ κοινὴ ἵει ἐϲτίν Herodianus. — 34 ἄρ' ἔμελλον: Ζηνόδοτοϲ γράφει ὣϲ ἤμελλον ὄπιϲθε Aristonicus.

αὐτὰρ ὅ γ᾽ ὡς τὸ πρόcθεν ἐμάρνατο ἶcoc ἀέλλῃ.
ὡc δ᾽ ὅτ᾽ ἂν ἔν τε κύνεcci καὶ ἀνδράci θηρευτῇcι
κάπριoc ἠὲ λέων cτρέφεται cθένεϊ βλεμεαίνων·
οἳ δέ τε πυργηδὸν cφέας αὐτοὺς ἀρτύναντεc
ἀντίοι ἵcτανται καὶ ἀκοντίζουcι θαμειὰc
αἰχμὰc ἐκ χειρῶν· τοῦ δ᾽ οὔ ποτε κυδάλιμον κῆρ
ταρβεῖ οὐδὲ φοβεῖται, ἀγηνορίη δέ μιν ἔκτα·
ταρφέα δὲ cτρέφεται cτίχαc ἀνδρῶν πειρητίζων·
ὅππῃ τ᾽ ἰθύcῃ, τῇ τ᾽ εἴκουcι cτίχεc ἀνδρῶν·
ὣc Ἕκτωρ ἀν᾽ ὅμιλον ἰὼν ἐλλίccεθ᾽ ἑταίρουc,
τάφρον ἐποτρύνων διαβαινέμεν. οὐδέ οἱ ἵπποι
τόλμων ὠκύποδεc, μάλα δὲ χρεμέτιζον ἐπ᾽ ἄκρῳ
χείλει ἐφεcταότεc· ἀπὸ γὰρ δειδίccετο τάφροc
εὐρεῖ᾽, οὔτ᾽ ἄρ᾽ ὑπερθορέειν cχεδὸν οὔτε περῆcαι
ῥηιδίη· κρημνοὶ γὰρ ἐπηρεφέεc περὶ πᾶcαν
ἕcταcαν ἀμφωτέρωθεν, ὕπερθεν δὲ cκολόπεccιν
ὀξέcιν ἠρήρει, τοὺc ἕcταcαν υἷεc Ἀχαιῶν
πυκνοὺc καὶ μεγάλουc, δηίων ἀνδρῶν ἀλεωρήν.
ἔνθ᾽ οὔ κεν ῥέα ἵπποc ἐύτροχον ἅρμα τιταίνων
ἐcβαίη, πεζοὶ δὲ μενοίνεον εἰ τελέουcι.

---

V. L. 40 τοπρόcθεν HL. τὸ πρῶτον C. μάρνατο S. ἴcoc D. — 41 ὅταν CEHL. θηρευτῆcι ACDEGH. — 42 κάπροc G. — 43 ἀρτύναντας G. — 44 ἀντίοι libri. ἀντίοι ἢ ἀντίον E 891, 43. — 46 ἀγηνορίη S. — 47 omittit H in textu, habet in marg. man. rec. ταρφεά C. τάρφεά Apoll. Lex. 7, 22. — 48 ὅπηη AE: ceteri ὅππη· ἰθύcει CDEL. ἰθύcει (η suprascr.) S. — 49 ὡc A. ἐλίccεθ᾽ CL Cant. Mor. ἐλίcεθ᾽ Townl. ἐλίςεθ᾽ G. ἐλίccεθ᾽ H. — 50 διαβαίνειν E. διαβήμεναι Townl. οὐ δὲ A. — 51 χραιμέτιζον (ε suprascr.) C. δ᾽ ἐχρεμέτϊζον H. — 52 χείλει ἑcταότεc L. χείλεϊ ἢ διcυλλάβωc χείλει ἑcταότεc καὶ ἄλλωc δὲ χείλει ἐφεcταότεc E 892, 26. ἐφεcταῶτεc Townl. ἄπο CH. ἄπο L. — 53 ἆρ EGL. ἀρ A. τ᾽ ἄρ᾽ et man. rec. γρ. γὰρ C. οὐ γὰρ Townl. — 54 ἐπϊρρεφέεc G Barocc. Mor. Cant. Harl. — 55 ἕcταcαν G. ὕπερθε CDG Townl. — 56 ἠρήρειcτ᾽ οὓc ἕcταcαν Pseudoplut. 156, 44. ἕcταcαν H. — 58 εὔτροχον G. ἐΰξοον Vrat. A. ἐύξοον ἢ ἐύτροχον E. — 59 ἐcβαίῃ H. τελέουcι ACGH. ἢ τελέουcι Vrat. A.

---

A. c. 40 ἐμάρνατο: ἀριcτοφάνηc ἐμαίνετο Didymus. — 41 ἔν τιcι θηρευτῆρcι Schol. A, conf. ad Λ 325. — 44 ἀντίοι: γρ. ἀντίον, οὕτωc γὰρ ἀρίcταρχοc Didymus. — 46 ἀγηνορίη: οὕτωc χωρὶc τοῦ ῑ ἀρίcταρχοc, ὃc γρ. ἡ ἀγηνορία Didymus. — 49 ἐλλίccεθ᾽ et εἱλίccεθ᾽ Nicanor. τὸ δὲ ἐλίccετο ἀμφεβλήθη· τινὲc μὲν γὰρ ἐδάcυναν, νοοῦντεc αὐτὸ ἀντὶ τοῦ εἱλίccετο, ἐcτρέφετο, τινὲc δὲ ἐψίλωcαν Eust. 892, 23. — 54 ἀριcτοφάνηc διαπαcαν (sic) Didymus. — 55 ἕcταcαν Aristarchus, Ptolemaeus Ascalonita, Herodianus, δαcέωc. iidem v. 56 ἕcταcαν, ψιλῶc, conf. Et. Mg. 382, 21. — 59 ἐcβαίη: καββαίη Zenodotus et Aristophanes.

δὴ τότε Πουλυδάμας θραϲὺν Ἕκτορα εἶπε παραϲτάϲ·
Ἕκτόρ τ᾽ ἠδ᾽ ἄλλοι Τρώων ἀγοὶ ἠδ᾽ ἐπικούρων,
ἀφραδέωϲ διὰ τάφρον ἐλαύνομεν ὠκέαϲ ἵππουϲ.
ἣ δὲ μάλ᾽ ἀργαλέη περάαν· ϲκόλοπεϲ γὰρ ἐν αὐτῇ
ὀξέεϲ ἑϲτᾶϲι, προτὶ δ᾽ αὐτοὺϲ τεῖχοϲ Ἀχαιῶν.
ἔνθ᾽ οὔ πωϲ ἔϲτιν καταβήμεναι οὐδὲ μάχεϲθαι
ἱππεῦϲι· ϲτεῖνοϲ γάρ, ὅθι τρώϲεϲθαι ὀίω.
εἰ μὲν γὰρ τοὺϲ πάγχυ κακὰ φρονέων ἀλαπάζει
Ζεὺϲ ὑψιβρεμέτηϲ, Τρώεϲϲι δὲ ἵετ᾽ ἀρήγειν,
ἦ τ᾽ ἂν ἐγώ γ᾽ ἐθέλοιμι καὶ αὐτίκα τοῦτο γενέϲθαι,
νωνύμνουϲ ἀπολέϲθαι ἀπ᾽ Ἄργεοϲ ἐνθάδ᾽ Ἀχαιούϲ·
εἰ δέ χ᾽ ὑποϲτρέψωϲι, παλίωξιϲ δὲ γένηται
ἐκ νηῶν, καὶ τάφρῳ ἐνιπλήξωμεν ὀρυκτῇ,
οὐκέτ᾽ ἔπειτ᾽ ὀίω οὐδ᾽ ἄγγελον ἀπονέεϲθαι
ἄψορρον προτὶ ἄϲτυ ἑλιχθέντων ὑπ᾽ Ἀχαιῶν.
ἀλλ᾽ ἄγεθ᾽, ὡϲ ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντεϲ.
ἵππουϲ μὲν θεράποντεϲ ἐρυκόντων ἐπὶ τάφρῳ,
αὐτοὶ δὲ πρυλέεϲ ϲὺν τεύχεϲι θωρηχθέντεϲ
Ἕκτορι πάντεϲ ἑπώμεθ᾽ ἀολλέεϲ· αὐτὰρ Ἀχαιοὶ
οὐ μενέουϲ᾽, εἰ δή ϲφιν ὀλέθρου πείρατ᾽ ἐφῆπται.

V. ι. 61 τ᾽ omitt. D. ἠδ᾽ A. τρώων L. ἐπικούρων (οι supra ων) A. — 62 διὰ: γρ. περὶ A. ἐλαύνομεν ὠκέαϲ ἵππουϲ, ἢ κατά τιναϲ, οὐ μέντοι καλῶϲ, ἐλαύνετε μώνυχαϲ ἵππουϲ E 892, 55. — 63 ἡ δὲ C. περάαν G. ἐναυτῆι A. ἀν᾽ αὐτὴν C. — 64 ἑϲτᾶϲι DG: ceteri ἑϲτᾶϲιν. προτὶ D Schol. V. ποτὶ A. περὶ CGHLS Cant. Lips. Mor. Townl. Vrat. b. Flor. — 65 οὔπω G Barocc. ἐϲτὶν ACL. ἐϲτὶ G ἐϲτι D. — 66 ἱππεῦϲιν DH. — 67 εἰ μὲν γὰρ δὴ ACDEGHL. εἰ μὲν δὴ S. πάγχι L. ἀλαπάξει L. — 68 τριψεϲϲι L. δὲ ἵετ᾽ L: δὲ βούλετ᾽ ACDEGHS. βούλετο νίκην ἢ μάλιϲτα Τρώεϲϲι δὲ βούλετ᾽ ἀρήγειν Eust. 893, 5. — 69 ήτ᾽ D. ἐγὼν Bachm. Anecd. II, 142, 6. ἔγωγε θέλοιμι L. — 70 νωνύμνουϲ AH Apoll. Lex. 117, 20: νωνύμουϲ CDGLS. νωνύμουϲ ἢ νωνύμνουϲ E. — 71 παλίωξιϲ A. δὲ: τὲ G. — 72 ἐνιπλήξομεν H. — 73 οὐκ ἔτ᾽ E. οἴω CDH. — 74 πρὸ τὶ H. ἐλιχθέντων ACGL. ελιχθέντων D. — 75 ἐγὼ ACDEGHLS cum libris Heynii. — 76 τάφρον G Barocc. — 78 ἀολέεϲ D.

A. c. 64 ἑϲτᾶϲι προτὶ, conf. Φ 532 ἔλθωϲι προτὶ, X 217 Ἀχαιοῖϲι προτὶ, K 347 ϲτρατόφι(ν) προτιειλεῖν, H. U. 254 sq. — 66 ἱππεῦϲι: ἱππῆαϲ Aristophanes cum Zenodoto. — 67 ἀριϲτοφάνηϲ εἰ μὲν γὰρ τοὺϲ πάγχυ Didymus, pro Ἀριϲτοφάνηϲ habet Schol. V Ἀρίϲταρχοϲ. — 68 βούλετ᾽: ἵετ᾽ (sic) ἀρήγειν οὕτωϲ πᾶϲαι Didymus, de πᾶϲαι conf. H. T. 138 sqq. — 70 νωνύμνουϲ, conf. H. U. 274. — 77 Ζηνόδοτοϲ διὰ τοῦ τ̄ τὼϲ ἂν ἐγὼ εἴπω Didymus. — 79 Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ πεῖραρ ἑνικῶϲ Didymus.

ὣς φάτο Πουλυδάμας, ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων,
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε.
οὐδὲ μὲν ἄλλοι Τρῶες ἐφ' ἵππων ἠγερέθοντο,
ἀλλ' ἀπὸ πάντες ὄρουσαν, ἐπεὶ ἴδον Ἕκτορα δῖον.
ἡνιόχῳ μὲν ἔπειτα ἑῷ ἐπέτελλεν ἕκαστος
ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν αὖθ' ἐπὶ τάφρῳ·
οἳ δὲ διαστάντες, σφέας αὐτοὺς ἀρτύναντες,
πένταχα κοσμηθέντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.
οἳ μὲν ἅμ' Ἕκτορ' ἴσαν καὶ ἀμύμονι Πουλυδάμαντι,
οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν, μέμασαν δὲ μάλιστα
τεῖχος ῥηξάμενοι κοίλῃς ἐπὶ νηυσὶ μάχεσθαι.
καί σφιν Κεβριόνης τρίτος εἵπετο· πὰρ δ' ἄρ' ὄχεσφιν
ἄλλον Κεβριόναο χερείονα κάλλιπεν Ἕκτωρ.
τῶν δ' ἑτέρων Πάρις ἦρχε καὶ Ἀλκάθοος καὶ Ἀγήνωρ,
τῶν δὲ τρίτων Ἕλενος καὶ Δηίφοβος θεοειδής,
υἷε δύω Πριάμοιο· τρίτος δ' ἦν Ἄσιος ἥρως,
Ἄσιος Ὑρτακίδης, ὃν Ἀρίσβηθεν φέρον ἵπποι
αἴθωνες μεγάλοι, ποταμοῦ ἄπο Σελλήεντος.
τῶν δὲ τετάρτων ἦρχεν ἐὺς πάις Ἀγχίσαο,
Αἰνείας, ἅμα τῷ γε δύω Ἀντήνορος υἷε,
Ἀρχέλοχός τ' Ἀκάμας τε, μάχης εὖ εἰδότε πάσης.
Σαρπηδὼν δ' ἡγήσατ' ἀγακλειτῶν ἐπικούρων,
πρὸς δ' ἕλετο Γλαῦκον καὶ ἀρήιον Ἀστεροπαῖον·
οἳ γάρ οἱ εἴσαντο διακριδὸν εἶναι ἄριστοι

---

V. L. 80 ὥς A. ἄδε CDE 893, 30 et 47. — 81 ἐξοχέων AD. ἆλτο D. χαμᾶζε ADE: χαμάζε CGHL. — 82 τρῷες L. — 83 ἀπο D. ἄπο G. ἀπο- π βάντες L. ἀποβάντες H. — 85 αὖτ' H. ἐπιτάφρωι A. τάφρον L. — 86 ἀρτύναντο L. — 87 ἕποντο: ἕκαστοι L. γρ. ἕκαστος A. — 88 οἳ μὲν C. ἕκτορ$^{ι}$' A. — 90 τεῖχός τε ῥήξειν καὶ ἐνιπρήσειν (ἐμπρήσειν G Barocc.) πυρὶ νῆας GS Cant. Mor. Barocc. Harl. Vrat. A. fragm. Mosc. ἐν ἄλλῳ τεῖχος ῥηξάμενοι κοιλῆις ἐπὶ νηυσὶ μάχεσθαι A ut in textu. — 91 παρ DH. ἆρ G. ἀρ A. — 94 ἕλενος H. — 95 δύο CD, conf. H. U. 46. τρίτος: τρίτατος DG. πριάμου τρίτατος Barocc. Mor. Vrat. b. — 96 τὸν C. — 97 ἄπο AG Io. Alexandr. 26, 30: ἀπὸ CDHL. — 98 παῖς H. — 99 τῷ γε: τώδε H. — 101 ἡγεῖτο L: ceteri ἡγήσατ', D ἡγήσατο. ἀγακλυτῶν Draco de Metr. 10, 23. — 102 προς CD. — 103 οἳ γὰρ DG. οἳ γάρ CHL.

---

A. c. 85 αὖθ': τὸ ὅλον αὖτε ἐπιτάφρῳ Schol. A. τινὲς αὖθι Schól. V. — 87 ἕποντο: alii ἕκαστοι teste Nicanore. — 101 ἡγεῖτο defendit Ahrens. de hiatus Homerici legitimis quibusdam generibus pg. 24, conf. 88, 91, 93, 98.

τῶν ἄλλων μετά γ' αὐτόν· ὃ δ' ἔπρεπε καὶ διὰ πάντων.
οἳ δ' ἐπεὶ ἀλλήλουc ἄραρον τυκτῇcι βόεccι,
βάν ῥ' ἰθὺc Δαναῶν λελιημένοι, οὐδ' ἔτ' ἔφαντο
cχήcεcθ', ἀλλ' ἐν νηυcὶ μελαίνῃcιν πεcέεcθαι.
ἔνθ' ἄλλοι Τρῶεc τηλεκλειτοί τ' ἐπίκουροι
βουλῇ Πουλυδάμαντοc ἀμωμήτοιο πίθοντο·
ἀλλ' οὐχ' Ὑρτακίδηc ἔθελ' Ἄcιοc, ὄρχαμοc ἀνδρῶν,
αὖθι λιπεῖν ἵππουc τε καὶ ἡνίοχον θεράποντα,
ἀλλὰ cὺν αὐτοῖcιν πέλαcεν νήεccι θοῇcι,
νήπιοc, οὐδ' ἄρ' ἔμελλε κακὰc ὑπὸ κῆραc ἀλύξαc,
ἵπποιcιν καὶ ὄχεcφιν ἀγαλλόμενοc, παρὰ νηῶν
ἂψ ἀπονοcτήcειν προτὶ Ἴλιον ἠνεμόεccαν·
πρόcθεν γάρ μιν μοῖρα δυcώνυμοc ἀμφεκάλυψεν
ἔγχεϊ Ἰδομενῆοc, ἀγαυοῦ Δευκαλίδαο.
εἴcατο γὰρ νηῶν ἐπ' ἀριcτερά, τῇ περ Ἀχαιοὶ
ἐκ πεδίου νίccοντο cὺν ἵπποιcιν καὶ ὄχεcφι·
τῇ ῥ' ἵππουc τε καὶ ἅρμα διήλαcεν, οὐδὲ πύλῃcιν
εὗρ' ἐπικεκλιμέναc cανίδαc καὶ μακρὸν ὀχῆα,
ἀλλ' ἀναπεπταμέναc ἔχον ἀνέρεc, εἴ τιν' ἑταίρων
ἐκ πολέμου φεύγοντα caώcειαν μετὰ νῆαc.
τῇ ῥ' ἰθὺc φρονέων ἵππουc ἔχε, τοὶ δ' ἅμ' ἕποντο
ὀξέα κεκλήγοντεc· ἔφαντο γὰρ οὐκέτ' Ἀχαιοὺc

V. l. 104 μετὰ δ' H. μετ' αὐτὸν G. ὃ δ' DL. ὅδ' CGH. δια A. — 105 οἳ δ' D. οἵδ' CGHL. πυκτῇcι G. βόεccι ACDGH. — 106 οὐδέ τ' ἔφαντο ACDGHLS cum libris Heynii. οὐ γὰρ ἔφαντο E. — 107 cχήcεcθαι DG. μελαίνῃcι DEG. — 108 ἄλλοι πάντεc D. τρῷεc L. τηλεκλειτοί AC DG 1. man. H. Townl. 1. man. Vrat. b. τηλεκλητοί G 2. man. L. τελεκλ[η]ειτοί S. — 111 ἵππον Cant. — 112 αὐτοῖcι DG. πέλαccεν G. νηυcὶ D. θοῇcι ACDGH. — 113 ἂρ CDEGL. ὑπο AGHL. — 114 ἵπποιcι DEL. ὄχεcφι D. — 115 ἐπινοcτήcειν L. προτι D. πρὸ τὶ H. ποτὶ GS. — 116 πρόcθε D. δυcώνυμον A. — 117 ἔγχει C 1. man. DH. δευκαλίονοc G. δευκαλίωνοc Mor. Barocc. — 118 ὅπου Ἀχαιοὶ E. — 119 νείcοντο D Harl. Lips. Townl. Vrat. A. Fragm. Mosc. ν[ει]ίcοντο C. ν[ει]ίccοντο H. νίcοντο Vrat. b. ἵπποιcι DEG. ὄχεcφι CDG. — 120 τὲ H. ἅρματα DG. — 121 ἐπικεκλιcμέναc G. — 122 ἑτάρων G. — 123 caώcειαν G. μετα A. — 124 ἔχεν οἵδ' L. — 125 κεκλήγοντεc ACDEHS: κεκληγότεc GL Townl. ἔφατο H.

A. c. 106 οὐδ' ἔτ' Barnesius correxit, conf. Indic. ad editionem meam Odysseae pg. 347. — 119 νίccοντο, conf. H. T. 316 sq. — 125 κεκλήγοντεc Herodianus. videntur fuisse qui κεκληγῶτεc scriberent conf. Did. ad Π 430 κεκλήγοντεc: κεκληγῶτεc ἐν τῇ ἑτέρᾳ τῶν Ἀριcτάρχου. Ξ 30 κεκληγῶτεc καὶ κεκλήγοντεc διχῶc αἱ Ἀριcτάρχειοι. Herod. ad μ 256 ἐὰν διὰ τοῦ ω̄ προπεριcπᾶται, ἐὰν δὲ διὰ τῶν ν̄τ̄, ὡc λέγονταc.

ϲχήϲεϲθ', ἀλλ' ἐν νηυϲὶ μελαίνῃϲιν πεϲέεϲθαι,
νήπιοι, ἐν δὲ πύλῃϲι δύ' ἀνέραϲ εὗρον ἀρίϲτουϲ,
υἷαϲ ὑπερθύμουϲ Λαπιθάων αἰχμητάων,
τὸν μὲν Πειριθόου υἷα, κρατερὸν Πολυποίτην,
τὸν δὲ Λεοντῆα, βροτολοιγῷ ἶϲον Ἄρηι.
τὼ μὲν ἄρα προπάροιθε πυλάων ὑψηλάων
ἕϲταϲαν ὡϲ ὅτε τε δρύεϲ οὔρεϲιν ὑψικάρηνοι,
αἵ τ' ἄνεμον μίμνουϲι καὶ ὑετὸν ἤματα πάντα,
ῥίζῃϲιν μεγάλῃϲι διηνεκέεϲϲ' ἀραρυῖαι·
ὣϲ ἄρα τὼ χείρεϲϲι πεποιθότεϲ ἠδὲ βίηφι
μίμνον ἐπερχόμενον μέγαν Ἄϲιον οὐδὲ φέβοντο.
οἳ δ' ἰθὺϲ πρὸϲ τεῖχοϲ ἐύδμητον βόαϲ αὔαϲ
ὑψόϲ' ἀναϲχόμενοι ἔκιον μεγάλῳ ἀλαλητῷ
Ἄϲιον ἀμφὶ ἄνακτα καὶ Ἰαμενὸν καὶ Ὀρέϲτην
Ἀϲιάδην τ' Ἀδάμαντα Θόωνά τε Οἰνόμαόν τε.
οἳ δ' ἤ τοι εἵωϲ μὲν ἐυκνήμιδαϲ Ἀχαιοὺϲ
ὄρνυον ἔνδον ἐόντεϲ ἀμύνεϲθαι περὶ νηῶν·

V. L. 126 μελαίνῃϲι DG Schol. O 56. — 128 υἱέαϲ G. — 129 υἱέα Townl. — 131 πυλάων CDEHLS: θυράων AG. γρ. καὶ πυλάων A. — 132 ἔϲταϲαν EGL. ὡϲ ὅτε δρύεϲ (L δρῦεϲ) ἐν GL Mor. τε omitt. C post ras. Lips. τοι pro τε Vrat. b. A. ὑψικάρηνοι A. — 133 ἤματα DG. ἤμαπάντα A. — 134 ῥίζῃϲι DEG. διηνεκέεϲ' G. διηνεκέεϲ Mor. Cant. — 135 ὡϲ A. τὼ: τοὶ E. βίηφι ADHL. βίῃφι CEG. — 136 οὐδὲ φέβοντο ACE 896, 6 LS Townl. Lips. Eton. (?) fragm. Mosc. Schol. N 389. — 137 οἳ δ' D. οἵδ' CGHL. εὐθὺϲ Rhet. Gr. III, 237, 7. εὔδμητον GH. — 138 omitt. H in textu, habet in marg. man. rec. ὕψοϲ L. — 139 ἀμφιάνακτα D. καὶ post ἄνακτα omitt. L. — 140 ἀδάμαντα ACDGHS Cant. Mor. Barocc. Harl. fragm. Mosc. Vrat. b. Flor. ἀκάμαντα L. — 141 οἵδ' CGH. οἳ δὴ τοι L. οἱ δή τοι D Harl. Townl. fragm. Mosc. ἕωϲ E. $\overset{τε}{ἕ}$ωϲ H. εὐκνήμιδαϲ DGH. ЄΥΚΝΗΜЄΙΔΑϹ Ambros. ἐϋκνήμιδ$\overset{ε}{α}$ϲ ἀχαι$\overset{ι}{ο}$ὺϲ C. — 143 ὄρνυον ADLS Schol. M 127 ΟΡΝΥΟΝ Ambros.: ὤρνυον CEGH Barocc. Townl. ἐόνταϲ L Barocc. Cant. Vrat. A. Flor. ЄΟΝΤΑϹ Ambros. ἐόντ$\overset{εϲ}{α}$ϲ S. ἀμύναϲθαι E.

A. c. 127, 128 ἀνέραϲ . . . . ἀρίϲτουϲ, υἷαϲ ὑπερθύμουϲ: ἀνέρε . . . . . ἀρίϲτω, υἷε ὑπερθύμω Zenodotus et Aristophanes. — 130 τινὲϲ ἐπάγουϲι τῷ ἶϲον Ἄρηϊ „υἱὸν ὑπερθύμοιο Κορωνοῦ Καινείδαο“ (= B 746) Schol. V. — 131—153 Ἡφαιϲτίων δὲ διπλῆν τὴν γραφὴν εἶναι ἔφη, καὶ δεῖν περιγράφειν ἢ τοὺϲ ι´ ϲτίχουϲ (131—140) τοὺϲ ἀπὸ τοῦ „τὼ μὲν ἄρα προπάροιθε“ μέχρι τοῦ „Ἀϲιάδην τ' Ἀδάμαντα“, ἢ τοὺϲ ιγ´ (141—153) τοὺϲ ἀπὸ τοῦ „οἱ δ' ἤτοι εἵωϲ μὲν“ μέχρι τοῦ „λαοῖϲι καθύπερθε“ Porphyrius. — 137 αὔαϲ Ptolem. Ascalonita et Herodianus: αὐάϲ Nicias. — 138 ἔκιον: κιέτην Aristophanes cum Zenodoto, conf. Schol. 127. — 139 Ἰαμενὸν Aristarchus ψιλῶϲ. Ptolem. Ascalonita inter Ἰαμενὸν et Ἱαμενόν haesitat, conf. Et. Mg. 463, 31 et Herodianum ad 193, qui assentitur Aristarcho. — 142 οὕτωϲ ἀρίϲταρχοϲ ἐόντεϲ κατὰ τὴν εὐθεῖαν Didymus.

αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεccυμένουc ἐνόηcαν
Τρῶαc, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβοc τε,
ἐκ δὲ τὼ ἀΐξαντε πυλάων πρόcθε μαχέcθην,
ἀγροτέροιcι cύεccιν ἐοικότε τώ τ' ἐν ὄρεccιν
ἀνδρῶν ἠδὲ κυνῶν δέχαται κολοcυρτὸν ἰόντα,
δοχμώ τ' ἀΐccοντε περὶ cφίcιν ἄγνυτον ὕλην,
πρυμνὴν ἐκτάμνοντεc, ὑπαὶ δέ τε κόμποc ὀδόντων
γίγνεται, εἰc ὅ κέ τίc τε βαλὼν ἐκ θυμὸν ἕληται·
ὣc τῶν κόμπει χαλκὸc ἐπὶ cτήθεccι φαεινὸc
ἄντην βαλλομένων· μάλα γὰρ κρατερῶc ἐμάχοντο
λαοῖcιν καθύπερθε πεποιθότεc ἠδὲ βίηφιν.
οἳ δ' ἄρα χερμαδίοιcιν ἐυδμήτων ἀπὸ πύργων
βάλλον ἀμυνόμενοι cφῶν τ' αὐτῶν καὶ κλιcιάων
νηῶν τ' ὠκυπόρων. νιφάδεc δ' ὥc πῖπτον ἔραζε,
ἅc τ' ἄνεμοc ζαὴc νέφεα cκιόεντα δονήcαc
ταρφειὰc κατέχευεν ἐπὶ χθονὶ πουλυβοτείρῃ·
ὣc τῶν ἐκ χειρῶν βέλεα ῥέον, ἠμὲν Ἀχαιῶν
ἠδὲ καὶ ἐκ Τρώων· κόρυθεc δ' ἀμφ' αὖον ἀύτευν
βαλλόμεναι μυλάκεccι καὶ ἀcπίδεc ὀμφαλόεccαι.
δή ῥα τότ' ᾤμωξέν τε καὶ ὣ πεπλήγετο μηρὼ

V. l. 144 τρῷαc L. αὐτὰρ G γένετ' CDL. φόβοc: πόνοc L. — 145 ΤΩΙ Ambr. πρόcθεν G. ἀΐξαντε: ὁρμήcαντε? Eust. 896, 25. — 146 ἐοικότεc DHS Townl. Vrat. b. A. τώ τ': οἵ τ' H Townl. ὄρεccι DH. — 147 ΔΕΧΕΤΑΙ Ambros. δεδέχαται H. δέχατο . . . . ἐόντα Zonar. Lex. 1229. — 148 δοχμῶ L. περι τέ cφιcιν D. περὶ δέ cφιcι Townl. in C man. rec. add. δὲ post περὶ. — 149 ἐκτάμνοντε CH Lips. post ras. ὕπαι D. — 150 γίγνεται L. ΓΙΓΝΕΤΑΙ Ambr. γίνεται ADEGH Draco de Metr. 28, 15. τε omitt. L. ἐκ E 896, 33: ἀπὸ E 896, 36. ἕλοιτο Barocc. — 151 ὡc AD 1. man. ἐπὶ: ἐνὶ L. cτήθεcφι D. — 153 λαοῖcι DE. καθΰπερθε A. καθύπερθεν G. βίηφι ADH. βίῃφι CEG. — 154 οἵδ' CGHL. εὐδμήτων DH. — 155 cφῶν δ' D. — 156 ὣc E. πῖπτον A Schol. M 278: πίπτον CDEGHL. — 158 πολυβοτείρη D. — 159 ὡc AD 1. man. — 160 τρῴων L. κόρυθοc (ε superscr.) A. ἀμφ' αὐτὸν L. αὗον D. ἀΰτεον H. ἀΰτευν ἤγουν ἀΰτεον E 897, 15. — 161 βαλλόμεναι (ων superscr.) A. — 162 δὴ ῥὰ CDHL. ᾤμωξέ τε G. καὶ ἐπεπλήγετο L. ᾧ . . . μηρῷ C ex corr. man. rec. D Townl., conf. O 113, 397, ν 198.

A. c. 144 φόβοc Aristarchus. — 147 οὕτωc ἐν ἁπάcαιc δέχαται Didymus. — 148 δοχμώ Herodianus. — 153 λαοῖcιν: λάεccιν Zenodotus. τὸ δὲ βίηφι χωρὶc τοῦ ῑ ἐcτιν Schol. V, conf. H. U. 185. — 157 ζαήc Ptol. Ascalonita et Herodianus cum Aristarcho, vide Herod. ad μ 313: alii ζάηc. — 158 Aristarchus et Ptolem. Ascalonita ταρφειάc: ταρφείαc Dionysius Thrax, conf. Herod. ad T 355, A 52. — 159 οὕτωc διὰ τοῦ ō ῥέον. ὁμηρικὸν τὸ cχῆμα Didymus. alii ῥέεν, conf. Schol. N 617. — 160 ἀμφ' αὖον Herodianus. — 161 ἀρίcταρχοc βαλλομένων ἄλλοι δὲ βαλλόμεναι Didymus. βαλλόμεναι: οὕτω Ζηνόδοτοc Schol. V.

Ἄϲιοϲ Ὑρτακίδηϲ, καὶ ἀλαϲτήϲαϲ ἔποϲ ηὔδα·
Ζεῦ πάτερ, ἦ ῥά νυ καὶ ϲὺ φιλοψευδὴϲ ἐτέτυξο
πάγχυ μάλ᾽· οὐ γὰρ ἐγώ γ᾽ ἐφάμην ἥρωαϲ Ἀχαιοὺϲ
ϲχήϲειν ἡμέτερόν γε μένοϲ καὶ χεῖραϲ ἀάπτουϲ.
οἳ δ᾽, ὥϲ τε ϲφῆκεϲ μέϲον αἰόλοι ἠὲ μέλιϲϲαι
οἰκία ποιήϲωνται ὁδῷ ἔπι παιπαλοέϲϲῃ,
οὐδ᾽ ἀπολείπουϲιν κοῖλον δόμον, ἀλλὰ μένοντεϲ
ἄνδραϲ θηρητῆραϲ ἀμύνονται περὶ τέκνων,
ὣϲ οἵ γ᾽ οὐκ ἐθέλουϲι πυλάων καὶ δύ᾽ ἐόντε
χάϲϲαϲθαι, πρίν γ᾽ ἠὲ κατακτάμεν ἠὲ ἁλῶναι.
ὣϲ ἔφατ᾽, οὐδὲ Διὸϲ πεῖθε φρένα ταῦτ᾽ ἀγορεύων·
Ἕκτορι γάρ οἱ θυμὸϲ ἐβούλετο κῦδοϲ ὀρέξαι.
ἄλλοι δ᾽ ἀμφ᾽ ἄλλῃϲι μάχην ἐμάχοντο πύλῃϲιν.
ἀργαλέον δέ με ταῦτα θεὸν ὣϲ πάντ᾽ ἀγορεῦϲαι.
πάντῃ γὰρ περὶ τεῖχοϲ ὀρώρει θεϲπιδαὲϲ πῦρ
λάινον· Ἀργεῖοι δὲ καὶ ἀχνύμενοί περ ἀνάγκῃ
νηῶν ἠμύνοντο· θεοὶ δ᾽ ἀκαχείατο θυμὸν
πάντεϲ, ὅϲοι Δαναοῖϲι μάχηϲ ἐπιτάρροθοι ἦϲαν.
ϲὺν δ᾽ ἔβαλον Λαπίθαι πόλεμον καὶ δηιοτῆτα.
ἔνθ᾽ αὖ Πειριθόου υἱόϲ, κρατερὸϲ Πολυποίτηϲ,
δουρὶ βάλεν Δάμαϲον κυνέηϲ διὰ χαλκοπαρήου·
οὐδ᾽ ἄρα χαλκείη κόρυϲ ἔϲχεθεν, ἀλλὰ διὰ πρὸ
αἰχμὴ χαλκείη ῥῆξ᾽ ὀϲτέον, ἐγκέφαλοϲ δὲ

---

V. l. 163 ηῦδα D. — 164 φιλοψευδὴϲ A. φιλοψευδήϲ γ᾽ S. — 166 ἡμέτερόν τε Townl. — 167 οἵδ᾽ CGHL. — 168 ποιήϲωνται AD Lips. 2. man. Vrat. b. 1. man. ποιήϲονται CEGHLS Rhet. Gr. III, 158, 12. ἔπι AE: ἐπὶ CDGL Rhet. Gr. III, 158, 12. Et. Gud. 392, 25. ἐνὶ H. — 169 ἀπολείπουϲι DEG. — 171 ὡϲ AD 1. man. οἵ γ᾽: οἵδ᾽ DL. ἐόντεϲ DG Barocc. — 172 χάϲαϲθαι DEG. ἠὲ κτάμεν D. κατακτάμεν᾽ G. ἀλῶναι A. — 173 ὡϲ A. πεῖθεν H. πεῖϲε L. πεῖθε G post ras. — 175 πύλῃϲι G. — 176 δ᾽ ἐμὲ L. ὡϲ AD. ἀγορεῦϲαι (ειν) A. — 177 πάντῃ AE: ceteri πάντη, ita Rhet. Gr. III, 218, 8; 238, 22. — 179 ἀκαχήατο LS Cant. Eton. 1. man. Fragm. Mosc. Vrat. b. A. θυμὸν libri mei cum Cant. Harl. Eton. Lips. Fragm. Mosc. Vrat. b. ἐν ἄλλῳ θυμῷ A. — 180 ὅϲϲοι G. — 181 ϲυνδ᾽ CD. — 183 βάλε G. χαλκοπαρήου A. χαλκοπαρείου G. — 184 διὰ πρὸ ADL: ceteri διαπρὸ. δι᾽ αὐτῆϲ Townl. — 185 χαλκείη ACD: ἱεμένη L Barocc. Townl. ἱεμένη G. ἰαμένη H, conf. Υ 399 (Ο 543, Υ 280, Φ 70).

---

A. c. 171 Aristarchus οἵδ᾽, alii οἵ γ᾽. — 175—181 ἀθετοῦνται Aristonicus. ἠθετοῦντο δὲ καὶ παρὰ Ἀριϲτοφάνει, παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ἐγράφοντο Didymus, vid. Ariston. ad Ο 414.

ἔνδον ἅπας πεπάλακτο· δάμαςςε δέ μιν μεμαῶτα.
αὐτὰρ ἔπειτα Πύλωνα καὶ Ὄρμενον ἐξενάριξεν·
υἱὸν δ᾽ Ἀντιμάχοιο Λεοντεύς, ὄζος Ἄρηος,
Ἱππόμαχον βάλε δουρὶ κατὰ ζωςτῆρα τυχήςας.
αὖτις δ᾽ ἐκ κολεοῖο ἐρυςςάμενος ξίφος ὀξὺ
Ἀντιφάτην μὲν πρῶτον, ἐπαΐξας δι᾽ ὁμίλου,
πλῆξ᾽ αὐτοςχεδίην· ὃ δ᾽ ἄρ᾽ ὕπτιος οὔδει ἐρείςθη·
αὐτὰρ ἔπειτα Μένωνα καὶ Ἰαμενὸν καὶ Ὀρέςτην
πάντας ἐπαςςυτέρους πέλαςε χθονὶ πουλυβοτείρῃ.
ὄφρ᾽ οἳ τοὺς ἐνάριζον ἀπ᾽ ἔντεα μαρμαίροντα,
τόφρ᾽ οἳ Πουλυδάμαντι καὶ Ἕκτορι κοῦροι ἕποντο,
οἳ πλεῖςτοι καὶ ἄριςτοι ἔςαν, μέμαςαν δὲ μάλιςτα
τεῖχός τε ῥήξειν καὶ ἐνιπρήςειν πυρὶ νῆας,
οἵ ῥ᾽ ἔτι μερμήριζον ἐφεςταότες παρὰ τάφρῳ.
ὄρνις γάρ ςφιν ἐπῆλθε περηςέμεναι μεμαῶςιν,
αἰετὸς ὑψιπέτης ἐπ᾽ ἀριςτερὰ λαὸν ἐέργων,
φοινήεντα δράκοντα φέρων ὀνύχεςςι πέλωρον
ζωόν, ἔτ᾽ ἀςπαίροντα· καὶ οὔ πω λήθετο χάρμης.
κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ ςτῆθος παρὰ δειρὴν
ἰδνωθεὶς ὀπίςω· ὃ δ᾽ ἀπὸ ἕθεν ἧκε χαμᾶζε
ἀλγήςας ὀδύνῃςι, μέςῳ δ᾽ ἐνὶ κάββαλλ᾽ ὁμίλῳ,
αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇς ἀνέμοιο.
Τρῶες δ᾽ ἐρρίγηςαν, ὅπως ἴδον αἰόλον ὄφιν

V. L. 186 δάμηςε G. μιν omitt. G. — 187 Πέλωρα Vrat. b. ὅρμενον C. ὁρμενον A. — 189 κατα A. — 190 αὖθις C. ἐρυςάμενος D. — 191 διομίλου D. ὅμιλον H. — 192 ὅδ᾽ CGHL. ἂρ ADGL. οὔδει ἐρείςθη: οὖδας ἔρειςεν L. — 194 πέλαςεν H. — 195 οἳ ACDGHL. ἐνάριξαν S. ἀπέντεα D. ὑπ᾽ ἔντεα H. — 196 οἳ ACDGHL. — 197 omitt. A in textu. — 198 τε omitt. L. ῥῆξαι . . . . ἐνιπρῆςαι D, ceteri ῥήξειν et ἐνιπρήςειν cum Cant. Mor. Barocc. Harl. Lips. Fragm. Mosc. Vrat. b. A. — 199 ἑςταότες L. παρα A. περὶ H. τάφρον DH Townl. — 200 ἀπῆλθε G. μεμαῶςι D. μεμαῷςϊν G. — 204 γάρ αὐτον A Apoll. de Pron. 33 A; 41 C; 77 C. Plato Ion. 539 B. Bekk. Anecd. 1153. ἔχοντα omitt. G et τὸ post κατὰ add. — 205 ὃ δ᾽ D. ὅδ᾽ CGHL. ἀποέθεν A. χαμᾶζε ADE Apoll. de Pron. 97 C; de Adv. 599, 19: χαμάζε CGHL. — 206 ἐνι CD. ἐν S. ἐγκάββαλ᾽ H Townl. Plato Ion. 539 C. κάμβαλ᾽ CS Lips. Vrat. A. Flor. — 207 πέτετο: ἕπετο Plato l. l. πέτετο ποτὶ πνοιῇς G. — 208 τρῷες L. ὅπως: ἐπεὶ Draco de Metr. 6, 24. Bachm. Anecd. II, 185, 1. Villoison. Anecd. II, 86. ὄφιν: ὄπφιν S. ὄ|||φιν Cant. ὄφ̅ιν H. (π superscript over φ)

A. c. 192 οὖδας ἔρειςεν Aristarchus, conf. Λ 144. — 193 Ἰαμενὸν Herodianus cum Aristarcho, conf. ad 139. — 201 Aristarchus ὑψιπέτης, alii ὑψιπετῆς (ab ὑψιπετήεις X 308). — 204 γάρ αὐτον Herodianus cum Apollonio. — 205 ἰδνωθείς Alexio cum ceteris, ψιλῶς. — 208 ὄφιν:

κείμενον ἐν μέϲϲοιϲι, Διὸϲ τέραϲ αἰγιόχοιο.
δὴ τότε Πουλυδάμαϲ θραϲὺν Ἕκτορα εἶπε παραϲτάϲ·
Ἕκτορ, ἀεὶ μέν πώϲ μοι ἐπιπλήϲϲειϲ ἀγορῇϲιν
ἐϲθλὰ φραζομένῳ, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικε
δῆμον ἐόντα παρὲξ ἀγορευέμεν, οὔτ' ἐνὶ βουλῇ
οὔτε ποτ' ἐν πολέμῳ, ϲὸν δὲ κράτοϲ αἰὲν ἀέξειν·
νῦν αὖτ' ἐξερέω ὥϲ μοι δοκεῖ εἶναι ἄριϲτα.
μὴ ἴομεν Δαναοῖϲι μαχηϲόμενοι περὶ νηῶν.
ὧδε γὰρ ἐκτελέεϲθαι ὀίομαι, εἰ ἐτεόν γε
Τρωϲὶν ὅδ' ὄρνιϲ ἦλθε περηϲέμεναι μεμαῶϲι,
[αἰετὸϲ ὑψιπέτηϲ ἐπ' ἀριϲτερὰ λαὸν ἐέργων,]
φοινήεντα δράκοντα φέρων ὀνύχεϲϲι πέλωρον
ζωόν· ἄφαρ δ' ἀφέηκε, πάροϲ φίλα οἰκί' ἱκέϲθαι,
οὐδ' ἐτέλεϲϲε φέρων δόμεναι τεκέεϲϲιν ἑοῖϲιν.
ὣϲ ἡμεῖϲ, εἴ πέρ τε πύλαϲ καὶ τεῖχοϲ Ἀχαιῶν
ῥηξόμεθα ϲθένεϊ μεγάλῳ, εἴξωϲι δ' Ἀχαιοί,
οὐ κόϲμῳ παρὰ ναῦφιν ἐλευϲόμεθ' αὐτὰ κέλευθα·
πολλοὺϲ γὰρ Τρώων καταλείψομεν, οὕϲ κεν Ἀχαιοὶ
χαλκῷ δηώϲωϲιν ἀμυνόμενοι περὶ νηῶν.
ὧδέ χ' ὑποκρίναιτο θεοπρόποϲ, ὃϲ ϲάφα θυμῷ
εἰδείη τεράων καί οἱ πειθοίατο λαοί.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προϲέφη κορυθαίολοϲ Ἕκτωρ·

V. L. 209 μέϲϲῳ H. — 211 πωϲ AC. — 212 ἔοικε ACEGH. — 213 πάρεξ DH. ἐνι AD. — 214 οὔτέ ποτ' ACGHL. ϲόνδε C. κράτοϲ: ἐν ἄλλῳ ϲὸν δὲ κλέοϲ A. — 215 νῦν αὖτ' ACDHL Lips., vulgo νῦν δ' αὖτ'. ἐρέω G. ἄριϲτον ἢ ἄριϲτα E. — 216 μαχηϲάμενοι D. — 218 τρῳϲὶν L. ὄρνιϲ ἐπῆλθε ACDEGHLS. μεμαῶϲι CD. — 219 omitt. A in textu CD in t. H in text. Lips. — 221 ἄφαρ δ' ἕηκε D. οἰκία G. οἰκι' οἰκέϲθαι D. — 222 οὐδὲ τέλεϲϲε S. — 223 ὣϲ AD 1. man. εἴπέρ τε ACDEGH: vulgo εἴπερ τε. — 224 εἴξουϲῖ C. — 225 ναῦφι L. ναῦϲφιν Barocc. αὐτοκέλευθ D. — 226 τρῴων L. — 227 δηϊώϲουϲιν G Lips. Flor. δηϊόϲουϲιν L. δηϊόϲωϲιν C. δηϊώϲωϲιν D. δηϊώϲωϲι Townl. Vrat. b. δῃώϲωϲιν H. δῃώϲωϲι Fragm. Mosc. Eton. — 228 ᾧδέ H. ὑπεκρίνετο G. ὑπεκρίνεται (αι above ε) το H. ὑποκρίνατο Eton. Fragm. Mosc. — 229 ΕΙΔΕΙΗΙ Ambros. ΠΕΠΙΘΟΙΑΤΟ Ambros. — 230 ἀρ D. ἀρ A. ἂρ CL. ἄρα G. κορυθαιόλοϲ A.

ἄλλοι δὲ ὄπφιν μετέγραψαν Eust. 900, 12, conf. 1577, 53; 1775, 35. ὄφιν Herodianus apud Villoison. Anecd. II, 86.

A. c. 211 Aristarchus ἐπιπλήϲϲειϲ διὰ τοῦ π̄: alii ἐνιπλήϲϲειϲ. — 218 ὄρνιϲ ἦλθε: χωρὶϲ τῆϲ προθέϲεωϲ αἱ ἀριϲτάρχου Didymus, conf. ὡϲ δ' ὄρνῖϲ ἀπτῆϲι Ι 323; ἔϲτι πόλῖϲ Ἐφύρη Ζ 152; Κιϲϲηῒϲ ἄλοχοϲ Ζ 299. — 230 τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προϲέφη Aristarchus: Zenodotus τὸν δ' ἠμείβετ' ἔπειτα μέγαϲ.

Πουλυδάμα, ϲὺ μὲν οὐκέτ᾽ ἐμοὶ φίλα ταῦτ᾽ ἀγορεύειϲ·
οἶϲθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆϲαι.
εἰ δ᾽ ἐτεὸν δὴ τοῦτον ἀπὸ ϲπουδῆϲ ἀγορεύειϲ,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρέναϲ ὤλεϲαν αὐτοί,
ὃϲ κέλεαι Ζηνὸϲ μὲν ἐριγδούποιο λαθέϲθαι
βουλέων, ἅϲ τέ μοι αὐτὸϲ ὑπέϲχετο καὶ κατένευϲε·
τύνη δ᾽ οἰωνοῖϲι τανυπτερύγεϲϲι κελεύειϲ
πείθεϲθαι, τῶν οὔ τι μετατρέπομ᾽ οὐδ᾽ ἀλεγίζω,
εἴτ᾽ ἐπὶ δεξί᾽ ἴωϲι πρὸϲ ἠῶ τ᾽ ἠέλιόν τε,
εἴτ᾽ ἐπ᾽ ἀριϲτερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα.
ἡμεῖϲ δὲ μεγάλοιο Διὸϲ πειθώμεθα βουλῇ,
ὃϲ πᾶϲι θνητοῖϲι καὶ ἀθανάτοιϲιν ἀνάϲϲει.
εἷϲ οἰωνὸϲ ἄριϲτοϲ, ἀμύνεϲθαι περὶ πάτρηϲ.
τίπτε ϲὺ δείδοικαϲ πόλεμον καὶ δηιοτῆτα;
εἴ περ γάρ τ᾽ ἄλλοι γε περικτεινώμεθα πάντεϲ
νηυϲὶν ἐπ᾽ Ἀργείων, ϲοὶ δ᾽ οὐ δέοϲ ἔϲτ᾽ ἀπολέϲθαι·
οὐ γάρ τοι κραδίη μενεδήιοϲ οὐδὲ μαχήμων.
εἰ δὲ ϲὺ δηιοτῆτοϲ ἀφέξεαι, ἠέ τιν᾽ ἄλλον
παρφάμενοϲ ἐπέεϲϲιν ἀποτρέψειϲ πολέμοιο,
αὐτίκ᾽ ἐμῷ ὑπὸ δουρὶ τυπεὶϲ ἀπὸ θυμὸν ὀλέϲϲειϲ.
ὣϲ ἄρα φωνήϲαϲ ἡγήϲατο, τοὶ δ᾽ ἅμ᾽ ἕποντο
ἠχῇ θεϲπεϲίῃ· ἐπὶ δὲ Ζεὺϲ τερπικέραυνοϲ
ὦρϲεν ἀπ᾽ Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν,
ἥ ῥ᾽ ἰθὺϲ νηῶν κονίην φέρεν· αὐτὰρ Ἀχαιῶν
θέλγε νόον, Τρωϲὶν δὲ καὶ Ἕκτορι κῦδοϲ ὄπαζε.

V. l. 231 οὐκέτι G. — 232 ΑΜΕΙΜΟΝΑ Ambr. ἀμύμονα S et in marg. ἀμείνονα. τοῦδε: τούτου L. — 234 ἐξάρα ACD. — 236 ἅϲ τέ AE GL. ἃϲ τέ CDH: vulgo ἅϲτε. κατένευϲε A Ambr. CEGH. — 238 μετὰ τρέπομ᾽ A. μετατρέπομαι GL. — 239 ἐπιδέξι᾽ Cant. Mor. ἠώ τ᾽ D. — 240 ἐπαριϲτερὰ A. — 243 ἀμύναϲθαι ES Rom. Bekk. Anecd. 1271. Schol. Eurip. Phoen. 902. — 245 γε omitt. H. περικτεινώμεθα ACDEGH Stob. Floril. VIII, 4. alii περὶ κτεινώμεθα. — 246 ἐπαργείων A. — 248 ἀφίξεαι D Cant. ἤ έτιν D. εἴ τέ τιν᾽ C. — 249 ἀποϲτρέψειϲ CDEGHLS Cant. Mor. Harl. Eton. Fragm. Mosc. Lips. ἀποτρέψῃϲ Townl. πολέμοιο: πολεμίζειν H. — 250 ὑποδουρὶ A. ἀπὸ omitt. G. ἀπο AC. ὀλέϲειϲ G. ὀλέϲϲῃϲ Eton. Lips. Fragm. Mosc. — 251 ὡϲ A. οἱ δ᾽ E. — 252 τερπικέραυνοϲ A. — 253 ὦρϲεν: ὦϲεν G. θύελλα D. — 255 τρῳϲὶν L. τρωϲὶ CDEG Schol. Ε 334. ὄπαζε ACGH. ὄπαϲϲεν (ζ) L. ὀπάζει Et. Mg. 627, 27. Schol. Ε 334.

A. c. 231 Πουλυδάμα Aristarchus: Zenodotus et Chamaeleo Πουλυδάμαν. — 246 παρὰ Ζηνοδότῳ νηυϲὶν ὑπαργείων Didymus.

τοῦ περ δὴ τεράεϲϲι πεποιθότεϲ ἠδὲ βίηφι
ῥήγνυϲθαι μέγα τεῖχοϲ Ἀχαιῶν πειρήτιζον.
κρόϲϲαϲ μὲν πύργων ἔρυον, καὶ ἔρειπον ἐπάλξειϲ,
ϲτήλαϲ τε προβλῆταϲ ἐμόχλεον, ἃϲ ἄρ' Ἀχαιοὶ
πρώταϲ ἐν γαίῃ θέϲαν ἔμμεναι ἔχματα πύργων.
τὰϲ οἵ γ' αὐέρυον, ἔλποντο δὲ τεῖχοϲ Ἀχαιῶν
ῥήξειν. οὐδέ νύ πω Δαναοὶ χάζοντο κελεύθου,
ἀλλ' οἵ γε ῥινοῖϲι βοῶν φράξαντεϲ ἐπάλξειϲ
βάλλον ἀπ' αὐτάων δηίουϲ ὑπὸ τεῖχοϲ ἰόνταϲ.
ἀμφοτέρω δ' Αἴαντε κελευτιόωντ' ἐπὶ πύργων
πάντοϲε φοιτήτην, μένοϲ ὀτρύνοντεϲ Ἀχαιῶν.
ἄλλον μειλιχίοιϲ, ἄλλον ϲτερεοῖϲ ἐπέεϲϲι
νείκεον, ὅν τινα πάγχυ μάχηϲ μεθιέντα ἴδοιεν·
ὦ φίλοι, Ἀργείων ὅϲ τ' ἔξοχοϲ ὅϲ τε μεϲήειϲ
ὅϲ τε χερειότεροϲ, ἐπεὶ οὔ πω πάντεϲ ὁμοῖοι
ἀνέρεϲ ἐν πολέμῳ, νῦν ἔπλετο ἔργον ἅπαϲι.
καὶ δ' αὐτοὶ τόδε που γιγνώϲκετε. μή τιϲ ὀπίϲϲω
τετράφθω ποτὶ νῆαϲ ὁμοκλητῆροϲ ἀκούϲαϲ,
ἀλλὰ πρόϲϲω ἵεϲθε καὶ ἀλλήλοιϲι κέλεϲθε,
αἴ κε Ζεὺϲ δώῃϲιν Ὀλύμπιοϲ ἀϲτεροπητὴϲ
νεῖκοϲ ἀπωϲαμένουϲ δηίουϲ προτὶ ἄϲτυ δίεϲθαι.
ὣϲ τώ γε προβοῶντε μάχην ὤτρυνον Ἀχαιῶν.

---

V. l. 256 βίηφι ACDGHL. βίῃφι E bis. — 258 ἔριπον ADH Lips. Townl. Vrat. b. 1. man. — 259 ἐμόχλευον GHS Apoll. Lex. 134, 33. ἀρ A. ἂρ DEL. — 261 αὐέρυον A. αὖ ἔρυον CDEGHLS. — 262 νυ CDH. — 263 οἵ γ' ἐν HLS Cant., conf. H 474, N 406, H. U. pg. 60. — 264 αὐτέων G. ἰόνταϲ: ἐόνταϲ S Cant. — 265 κελευτιόων δ' ἐπὶ πύργῳ Schol. N 125. — 266 φοιτοίτην G Barocc. κατά τινα τῶν ἀντιγράφων διὰ διφθόγγου γράφεται φοιτείτην ὡϲ τὸ κομείτην (Θ 113). — 267 ἐπέεϲϲι ACGH Rhet. Gr. II, 391, 7. — 269 μεϲϲήειϲ G. — 271 ἅπαϲι ACDEGH. — 272 γιγνώϲκετε L: γινώϲκετε ACDEGH. — 273 ποτὶ CHLS. ποτι A: vulgo προτὶ. ἀκούϲαϲ AG Barocc. Harl. ἀκούων CDHLS Et. Mg. 625, 14. A . . . ΩΝ Syr. γρ. καὶ ἀκούων A. — 274 πρόϲω LS Syr. ῖεϲθε A. ἵεϲθε CGHL. ἵεϲθαι D. — 275 αἴ κεν D. δώιηιϲιν AD. ΔΩΗϹΙΝ Syr. — 276 νῖκοϲ C Townl. Eton. Vrat. A. Fragm. Mosc. προτὶ ACG. πρὸ τὶ H. προτιάϲτυ D. ποτὶ LS. — 277 ὡϲ A. τώ γε: οἵγε H. ὤτρυναν D. ἀχαιῶν οὺϲ S.

---

A. c. 276 ἀρίϲταρχοϲ νῖκοϲ διὰ τοῦ ῑ Didymus. Ἡρωδιανὸϲ διὰ μόνου τοῦ ῑ Schol. BL. τὸ δίεϲθαι ἡ παράδοϲιϲ προπαροξύνει Herodianus, conf. Et. Mg. 273, 14. Zonar. Lex. 48. H. T. 226. — 277 κατ' ἔνια τῶν ὑπομνημάτων προβάοντε, οἷον προβαίνοντεϲ καὶ ἀμείβοντεϲ τόπον ἐκ τόπου. διχῶϲ οὖν Didymus.

τῶν δ', ὥϲ τε νιφάδεϲ χιόνοϲ πίπτωϲι θαμειαὶ
ἤματι χειμερίῳ, ὅτε τ' ὤρετο μητίετα Ζεὺϲ
νιφέμεν, ἀνθρώποιϲι πιφαυϲκόμενοϲ τὰ ἃ κῆλα·
κοιμήϲαϲ δ' ἀνέμουϲ χέει ἔμπεδον, ὄφρα καλύψῃ
ὑψηλῶν ὀρέων κορυφὰϲ καὶ πρώοναϲ ἄκρουϲ
καὶ πεδία λωτοῦντα καὶ ἀνδρῶν πίονα ἔργα,
καί τ' ἐφ' ἁλὸϲ πολιῆϲ κέχυται λιμέϲιν τε καὶ ἀκταῖϲ,
κῦμα δέ μιν προϲπλάζον ἐρύκεται· ἄλλά τε πάντα
εἴλυται καθύπερθ', ὅτ' ἐπιβρίϲῃ Διὸϲ ὄμβροϲ·
ὣϲ τῶν ἀμφοτέρωϲε λίθοι πωτῶντο θαμειαί,
αἳ μὲν ἄρ' ἐϲ Τρῶαϲ, αἳ δ' ἐκ Τρώων ἐϲ Ἀχαιούϲ,
βαλλομένων· τὸ δὲ τεῖχοϲ ὕπερ πᾶν δοῦποϲ ὀρώρει.
οὐδ' ἄν πω τότε γε Τρῶεϲ καὶ φαίδιμοϲ Ἕκτωρ
τείχεοϲ ἐῤῥήξαντο πύλαϲ καὶ μακρὸν ὀχῆα,
εἰ μὴ ἄρ' υἱὸν ἑὸν Ϲαρπηδόνα μητίετα Ζεὺϲ
ὦρϲεν ἐπ' Ἀργείοιϲι, λέονθ' ὣϲ βουϲὶν ἕλιξιν.
αὐτίκα δ' ἀϲπίδα μὲν πρόϲθ' ἔϲχετο πάντοϲ' ἐίϲην,
καλὴν χαλκείην, ἐξήλατον, ἣν ἄρα χαλκεὺϲ
ἤλαϲεν, ἔντοϲθεν δὲ βοείαϲ ῥάψε θαμειὰϲ
χρυϲείῃϲ ῥάβδοιϲι διηνεκέϲιν περὶ κύκλον·
τὴν ἄρ' ὅ γε πρόϲθε ϲχόμενοϲ, δύο δοῦρε τινάϲϲων,

V. L. 278 πίπτουϲι D. πίπτωϲιν ἔραζε Townl. — 279 ὅτέ H. μητιέτα L. — 280 πιφαϲκόμενοϲ GH Mor. — 281 κοιμίϲαϲ CL Cant. Lips. κοιμίϲϲαϲ Harl. ὄφρ' ἂν καλύψοι L. — 282 ἄκραϲ H. — 283 λωτεῦντα AC DEGHLS Syr. Apoll. Lex. 109, 21. Pseudopl. 106, 40. — 284 ἐφαλὸϲ D. πολιῆϲ omitt. D. λιμέϲι E. — 285 ἄλλά τε ACHL. — 286 εἵλυται D 2. man. HL. εἰλῦται AD 1. man. εἰλῦται ἢ εἰλύαται E 904, 55, conf. 905, 25. εἰλύατο Vrat. b. 1. man. γρ. εἰλύαται A, ita CG. καθ' ὕπερθ' CD. ἔτ' D pro ὅτ'. ἐπιβρίϲει CEH. — 287 ὡϲ AD 1. man. ἀμφοτέρωθε ἢ ἀμφοτέρωϲε E. ποτῶντο G. — 288 αἳ μὲν C. ἂρ DEG. ἀρ A. εἰϲ τρῶαϲ G. τρῷαϲ L. αἳ δ' D. αἵδ' CGHL. τρῴων L. — 289 ὑπερ AD. ὑπὲρ CEGH. ὄρωρεν H. — 290 τρῷεϲ L. — 291 ἐρήξαντο Lips. — 292 ἂρ DEGL. ἀρ A. ΑΡ' Syr. ἑὸν omitt. D. μητιέτα L. — 293 ἀργείοιϲιν D. ὡϲ AD 1. man. [ΕΛΙ]ΞΕΙΝ Syr. — 294 πρόϲθεν ϲχέτο L. ἔχετο πάντοϲε ἴϲιν S. πάντοϲε ἴϲην DL. πάντοϲε ἴϲην A. — 295 χαλκείην: χρυϲείην Vrat. b. A. ἐξήλατον S Cant. — 296 ἔλαϲεν H. ἔντοϲθε CE bis. ἔραψε H. — 297 χρυϲείοιϲ D. χρυϲείαιϲ E. διηνεκέεϲϲι G. — 298 ἂρ DG. ἀρ A. δοῦρα G Mor.

A. c. 281 ἔμπεδον Aristarchus: ἄϲπετον Massiliensis. — 283 λωτεῦντα: ἀρίϲταρχοϲ διὰ τοῦ ō λωτοῦντα Didymus. οὕτωϲ αἱ Ἀριϲτάρχου καὶ ἡ Μαϲϲαλιωτική Schol. V, conf. Schol. L ἡ Μαϲϲαλιωτικὴ ἔκδοϲιϲ λέγει λωτοῦντα. — 286 εἰλῦται vel εἵλυται Herodianus. — 295 ἐξήλατον Zenodotus et Nicanor: ἐξήλατον Aristarchus, conf. Eust. 905, 60 sqq. — 296 ἤλαϲεν: ἐξέλαϲ' Zenodotus. — 297 Ptolem. Ascalonita et Herodianus περὶ κύκλον: alii περίκυκλον.

βῆ ῥ' ἴμεν ὥϲ τε λέων ὀρεϲίτροφοϲ, ὅϲ τ' ἐπιδευὴϲ
δηρὸν ἔῃ κρειῶν, κέλεται δέ ἑ θυμὸϲ ἀγήνωρ
μήλων πειρήϲοντα καὶ ἐϲ πυκινὸν δόμον ἐλθεῖν.
εἴ περ γάρ χ' εὕρῃϲι παρ' αὐτόφι βώτοραϲ ἄνδραϲ
ϲὺν κυϲὶ καὶ δούρεϲϲι φυλάϲϲονταϲ περὶ μῆλα,
οὔ ῥά τ' ἀπείρητοϲ μέμονε ϲταθμοῖο δίεϲθαι,
ἀλλ' ὅ γ' ἄρ' ἢ ἥρπαξε μετάλμενοϲ, ἠὲ καὶ αὐτὸϲ
ἔβλητ' ἐν πρώτοιϲι θοῆϲ ἀπὸ χειρὸϲ ἄκοντι·
ὥϲ ῥα τότ' ἀντίθεον Ϲαρπηδόνα θυμὸϲ ἀνῆκε
τεῖχοϲ ἐπαῖξαι διά τε ῥήξαϲθαι ἐπάλξειϲ.
αὐτίκα δὲ Γλαῦκον προϲέφη, παῖδ' Ἱππολόχοιο·
Γλαῦκε, τί ἢ δὴ νῶι τετιμήμεϲθα μάλιϲτα
ἕδρῃ τε κρέαϲίν τε ἰδὲ πλείοιϲ δεπάεϲϲιν
ἐν Λυκίῃ, πάντεϲ δὲ θεοὺϲ ὣϲ εἰϲορόωϲι;
καὶ τέμενοϲ νεμόμεϲθα μέγα Ξάνθοιο παρ' ὄχθαϲ,
καλὸν φυταλιῆϲ καὶ ἀρούρηϲ πυροφόροιο.
τῶ νῦν χρὴ Λυκίοιϲι μέτα πρώτοιϲιν ἐόνταϲ
ἑϲτάμεν ἠδὲ μάχηϲ καυϲτείρηϲ ἀντιβολῆϲαι,
ὄφρά τιϲ ὧδ' εἴπῃ Λυκίων πύκα θωρηκτάων·
οὐ μὰν ἀκληεῖϲ Λυκίην κάτα κοιρανέουϲιν

V. l. 300 εἴη D. ἔην G. — 301 εἰϲ A. γρ. καὶ ἐϲ πυκινὸν A. — 302 γὰρ ἄν χ' εὕρηϲι G. παραυτόφι DE. παρ' αὐτὸν Lips. — 303 ἐν κυϲὶ H. δούρεϲι C 1. man. G. δούραϲι E. περι AD. — 304 οὐρά D. ῥα C. μέμονεν H. — 305 ἀλλ' ὃ γὰρ DGH. ἀρ A. ἄρ' omitt. L. ὅγε ἢ E. ἥρπαζε D 1. man. S. — 306 ἀπο A. — 307 ὣϲ ῥὰ GL. ὡϲ ἄρα D. ἀνῆκε ACG Syr. — 308 ἐπαῗξαι Schol. Π 558: ἐπαΐξαι ACDEGL Syr. Eust. 900, 38. ἐπαΐξαϲ H. — 310 τί, ἠ νῶϊ A. τι δὴ νῶϊ D. ΤΊΗΔΕΝΩ͂Ι Syr. — 311 κρέαϲί τε ἠδὲ G. τε ἰδὲ ACDEHL Syr. ΔΕΠΑΕϹϹΙ Syr. — 312 ὡϲ A. εἰϲορόωϲι ACDEGH. ΕΙϹΟΡΌΩϹΙΝ Syr. — 313 παρόχθαϲ D. — 314 καλλὸν D. πυρροφόροιο C. πυρϊφόροιο G. — 315 τῶ ACGHL Syr. τῷ DE. μετὰ CEGH. — 316 καϋϲτείρηϲ ACGH. καυϲτηρῆϲ D. ἀϋϲτηρῆϲ S. ἀντιβολῆϲαι A. — 317 ὄφρά τιϲ ACDH. ᾧδ' H. λυκῖων ὧδ' εἴπη C. — 318 οὐ μὴν L Vrat. b. ἀκληεῖϲ ADHLS Cant. Harl. Lips. Townl. Eton. Fragm. Mosc. Vrat. b. Schol. K 167. ΑΚΛΉΕΙϹ Syr. ἀκλεεῖϲ CG. ἀκλειεῖϲ E 906, 27; 907, 49. διὰ τοῦ η (ἀκληεῖϲ) πολλὰ τῶν ἀκριβῶν ἀντιγράφων ἔχει Eust. 907, 53. κάτα κοιρανέουϲιν H: κατακοιρανέουϲιν ACDEGL Schol. K 167. ΚΑΤΑΚΟΙΡΑΝΈΟΥϹΑΝ Syr.

A. c. 303 τὸ δὲ δούραϲι „δούρεϲϲι“ γράφουϲιν οἱ ἀκριβέϲτεροι Eust. 906, 19. — 311 τε ἰδὲ, conf. ad Δ 147. — 318 οὕτωϲ ακλεεϲ αἱ ἀριϲτάρχου καὶ αἱ χαριέϲτεραι Didymus. ἀκλεεϲ δὲ Ἀρίϲταρχοϲ κατὰ ϲυγκοπὴν ὡϲ τὸ δυϲκλέα (B 115) Schol. A. scribendum est ἀκληεῖϲ ut ζαχρηεῖϲ M 347, 360.

ἡμέτεροι βαϲιλῆεϲ, ἔδουϲί τε πίονα μῆλα
οἶνόν τ᾽ ἔξαιτον μελιηδέα· ἀλλ᾽ ἄρα καὶ ἲϲ
ἐϲθλή, ἐπεὶ Λυκίοιϲι μέτα πρώτοιϲι μάχονται.
ὦ πέπον, εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε
αἰεὶ δὴ μέλλοιμεν ἀγήρω τ᾽ ἀθανάτω τε
ἔϲϲεϲθ᾽, οὔτέ κεν αὐτὸϲ ἐνὶ πρώτοιϲι μαχοίμην
οὔτέ κε ϲὲ ϲτέλλοιμι μάχην ἐϲ κυδιάνειραν·
νῦν δ᾽, ἔμπηϲ γὰρ κῆρεϲ ἐφεϲτᾶϲιν θανάτοιο
μυρίαι, ἃϲ οὐκ ἔϲτι φυγεῖν βροτὸν οὐδ᾽ ὑπαλύξαι,
ἴομεν, ἠέ τῳ εὖχοϲ ὀρέξομεν, ἠέ τιϲ ἡμῖν.
ὣϲ ἔφατ᾽, οὐδὲ Γλαῦκοϲ ἀπετράπετ᾽ οὐδ᾽ ἀπίθηϲε.
τὼ δ᾽ ἰθὺϲ βήτην Λυκίων μέγα ἔθνοϲ ἄγοντε.
τοὺϲ δὲ ἰδὼν ῥίγηϲ᾽ υἱὸϲ Πετεῶο Μενεϲθεύϲ·
τοῦ γὰρ δὴ πρὸϲ πύργον ἴϲαν κακότητα φέροντεϲ.
πάπτηνεν δ᾽ ἀνὰ πύργον Ἀχαιῶν, εἴ τιν᾽ ἴδοιτο
ἡγεμόνων, ὅϲ τίϲ οἱ ἀρὴν ἑτάροιϲιν ἀμύναι·
ἐϲ δ᾽ ἐνόηϲ᾽ Αἴαντε δύω, πολέμου ἀκορήτω,
ἑϲταότας, Τεῦκρόν τε νέον κλιϲίηθεν ἰόντα,
ἐγγύθεν· ἀλλ᾽ οὔ πώϲ οἱ ἔην βώϲαντι γεγωνεῖν·
τόϲϲοϲ γὰρ κτύποϲ ἦεν, ἀυτὴ δ᾽ οὐρανὸν ἷκε,
βαλλομένων ϲακέων τε καὶ ἱπποκόμων τρυφαλειῶν
καὶ πυλέων· πᾶϲαι γὰρ ἐπώχατο, τοὶ δὲ κατ᾽ αὐτὰϲ

V. L. 319 ἔδουϲι δὲ Townl. τε omitt. Syr. — 320 οἶνον δ᾽ Vrat. A. — 321 μετα A. μετὰ CDEGHL Syr. — 322 περι, τόνδε S. φυγόντε ACH Harl. Lips. Eton. Fragm. Mosc. φυγόντεϲ DEGLS Syr. Pseudoplut. 146, 55. Clem. Alexandr. Strom. VI, 2 § 21. — 324 οὔτέ κεν ACDGH. ἐνι AD. πρώτοιϲι: προμάχοιϲι S Cant. — 325 οὔτέ κε ACH. οὐτέ κε D. κέ ϲε EL Syr. μάχην ἀνὰ C. εἰϲ Clem. Alex. l. l. — 326 ἐφεϲτᾶϲι DGL. ἐφέϲταϲαν Vrat. A. — 327 βροτὸν φυγεῖν G. — 328 ἠέ τω δόξαν L. εἴ κε τῳ εὖχοϲ Clem. Alexandr. — 329 ὡϲ A. ἔφατ᾽ο L. ἐπετράπετ᾽ C. ἀπίθηϲε ACG Syr. — 330 ἰθὺϲ: γρ. εὐθὺϲ Lips. ἰθὺϲ βλήτην G. ἄγοντεϲ GL Barocc. — 331 τούϲδε G. ῥίγηϲεν C 1. man. Lips. ῥίγηϲε G. — 333 πάπτηνεν C. πάπτηνε E. ἀνα AD. — 334 ὅϲτίϲ οἱ ACD. εἴ τϊϲ οἱ H. ἀμύνει G Mor. Barocc. ἀμῦναι D. ἀμύνοιεν L. — 335 ἐνόηϲε αἴανταϲ G. — 336 ἑϲταότεϲ L. — 337 οὔ πώϲ C. οὔπω G. βώϲοντι L. — 338 τόϲοϲ E. τόϲϲον Apoll. Lex. 54, 3. ἶκε ACE. ἦκεν GL. ΊΚΕΝ Syr. ἶκεν DH. ἧκε Et. Mg. 171, 34. — 339 τριφαλειῶν L. — 340 πᾶϲαι A Apoll. Lex. 75, 16. Et. Mg. 657, 25: πάϲαϲ CDEGHLS Syr. Barocc. Townl. Fragm. Mosc. Vrat. b. A. cum plerisque. πάϲαιϲ Harl. ἐπῴχατο AH Et. Mg.

A. c. 330 οὕτωϲ ἀρίϲταρχοϲ μέγα ἔθνοϲ ἄγοντε δυϊκῶϲ Didymus. — 333 πύργον: τεῖχοϲ Bekker. (2) ex coniectura. — 337 Aristarchus γεγωνεῖν: γεγώνειν Ptolem. Ascalonita, conf. H. T. 217. — 340 οὕτωϲ ἀρίϲταρχοϲ πάϲαϲ γὰρ ἐπώχατο Didymus. τὸ δὲ ἐπῴχατο διὰ τοῦ ᾱ καὶ

ἱϲτάμενοι πειρῶντο βίῃ ῥήξαντεϲ ἐϲελθεῖν,
αἶψα δ' ἐπ' Αἴαντα προΐει κήρυκα Θοώτην·
ἔρχεο δῖε Θοῶτα, θέων Αἴαντα κάλεϲϲον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ' ὄχ' ἄριϲτον ἁπάντων
εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺϲ ὄλεθροϲ.
ὧδε γὰρ ἔβριϲαν Λυκίων ἀγοί, οἳ τὸ πάροϲ περ
ζαχρηεῖϲ τελέθουϲι κατὰ κρατερὰϲ ὑϲμίναϲ.
εἰ δέ ϲφιν καὶ κεῖθι πόνοϲ καὶ νεῖκοϲ ὄρωρεν,
ἀλλά περ οἶοϲ ἴτω Τελαμώνιοϲ ἄλκιμοϲ Αἴαϲ,
καί οἱ Τεῦκροϲ ἅμ' ἑϲπέϲθω τόξων εὖ εἰδώϲ.
ὣϲ ἔφατ', οὐδ' ἄρα οἱ κῆρυξ ἀπίθηϲεν ἀκούϲαϲ,
βῆ δὲ θέειν παρὰ τεῖχοϲ Ἀχαιῶν χαλκοχιτώνων,
ϲτῆ δὲ παρ' Αἰάντεϲϲι κιών, εἶθαρ δὲ προϲηύδα·
Αἴαντ', Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
ἠνώγει Πετεῶο διοτρεφέοϲ φίλοϲ υἱὸϲ
κεῖϲ' ἴμεν, ὄφρα πόνοιο μίνυνθά περ ἀντιάϲητον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ' ὄχ' ἄριϲτον ἁπάντων
εἴη, ἐπεὶ τάχα κεῖθι τετεύξεται αἰπὺϲ ὄλεθροϲ·
ὧδε γὰρ ἔβριϲαν Λυκίων ἀγοί, οἳ τὸ πάροϲ περ

---

368, 35; 657, 25. ἐπώχατο Harl. Apoll. Lex. 75, 16. ἐπῴχετο CDGS Syr. ἐπώχετο L Barocc. Fragm. Mosc. Vrat. A. ἐπῴχετο ἢ ἐπῴχατο E. τοίδε CG.

V. L. 341 εἰϲελθεῖν H. — 342 ΑΙΑΝΤЄ Syr. — 343 αἴαντα ACDGHS Cant. Mor. Harl. Vrat. b. A. αἴαντε EL Syr. — 344 δ ACDGHL. γάρ χ' ἄριϲτον G. — 345 τεύξεται D. — 346 τοπάροϲ H. τοπάροϲ L, accentu supra ο eraso. — 347 ζαχρειεῖϲ G. ξαχρῆϲ (ει supra) H. — 348 ϲφι DG Syr. κακεῖθι DH Syr. κἀκεῖθι G. — 349 ἄλκιμοϲ υἱοϲ D. ἄλκιμοϲ omitt. G. — 350 ἅμ' ἐπέϲθω CDGS. ἅμα ϲπέϲθω H. ΑΜΑϹΠЄϹΘΩ Syr. — 351 ὥϲ A. κῆρυξ ACGH. κήρυξ DL Syr. — 352 δε D. θέων DG. παρὰ AD: κατὰ CGHS Syr. Cant. Harl. Townl. Eton. Fragm. Mosc. Schol. Μ 333. κατὰ λαὸν L. γρ. κατὰ τεῖχοϲ A. — 353 ϲτῆ δὲ παρ': ϲτῆ δ' ἆρ ἐπ' E. τινὰ δὲ τῶν ἀντιγράφων κάλλιον ἔχουϲι τὸ ϲτῆ δὲ παρ' Αἰάντεϲϲι Eust. 905, 35. προϲηῦδα D. — 355 διοτροφέοϲ H. — 356 ἀντιάϲητε G. — 347 δ ACDGHL. — 358 τεύξεται G. — 359 τοπάροϲ HL.

---

ϲὺν τῷ ι̅ (conf. Et. Mg. 368, 35), οἷον ἐπικεκλιμέναι ἦϲαν, ἐπέκειντο. Ζηνόδοτοϲ ἐπῴχετο Aristonicus. ἐὰν γράφεται ἐπῴχετο, τὸ πρὸ αὐτοῦ πάϲαϲ γραφέϲθω, unde patet Aristarchum non πάϲαϲ sed πᾶϲαι scripsisse, quod exhibet Venetus A. conf. Apoll. Lex. 75, 14. Et. Mg. 657, 25.

A. c. 342, 343 Αἴαντα: Αἴαντε Zenodotus. — 348 ἐκ πλήρουϲ τὸν ϲύνδεϲμον καὶ κεῖθι (Aristarchus), Didymus. ὅτι Ζηνόδοτοϲ γράφει εἰ δέ ϲφιν κἀκεῖϲε Aristonicus. — 350 ἀθετεῖται Aristonicus. καὶ Ἀριϲτοφάνηϲ ἠθέτει Didymus. — 359 ὧδε Aristarchus: Zenodotus κεῖϲε.

ζαχρηεῖϲ τελέθουϲι κατὰ κρατερὰϲ ὑϲμίναϲ.
εἰ δὲ καὶ ἐνθάδε περ πόλεμοϲ καὶ νεῖκοϲ ὄρωρεν,
ἀλλά περ οἶοϲ ἴτω Τελαμώνιοϲ ἄλκιμοϲ Αἴαϲ,
καί οἱ Τεῦκροϲ ἅμ᾽ ἑϲπέϲθω τόξων εὖ εἰδώϲ.
ὣϲ ἔφατ᾽, οὐδ᾽ ἀπίθηϲε μέγαϲ Τελαμώνιοϲ Αἴαϲ.
αὐτίκ᾽ Ὀιλιάδην ἔπεα πτερόεντα προϲηύδα·
Αἶαν, ϲφῶι μὲν αὖθι, ϲὺ καὶ κρατερὸϲ Λυκομήδηϲ
ἑϲταότεϲ Δαναοὺϲ ὀτρύνετον ἶφι μάχεϲθαι·
αὐτὰρ ἐγὼ κεῖϲ᾽ εἶμι καὶ ἀντιόω πολέμοιο.
αἶψα δ᾽ ἐλεύϲομαι αὖτιϲ, ἐπὴν εὖ τοῖϲ ἐπαμύνω.
ὣϲ ἄρα φωνήϲαϲ ἀπέβη Τελαμώνιοϲ Αἴαϲ,
καί οἱ Τεῦκροϲ ἅμ᾽ ἧε καϲίγνητοϲ καὶ ὄπατροϲ·
τοῖϲ δ᾽ ἅμα Πανδίων Τεύκρου φέρε καμπύλα τόξα.
εὖτε Μενεϲθῆοϲ μεγαθύμου πύργον ἵκοντο
τείχεοϲ ἐντὸϲ ἰόντεϲ, ἐπειγομένοιϲι δ᾽ ἵκοντο,
οἳ δ᾽ ἐπ᾽ ἐπάλξειϲ βαῖνον ἐρεμνῇ λαίλαπι ἶϲοι,
ἴφθιμοι Λυκίων ἡγήτορεϲ ἠδὲ μέδοντεϲ·
ϲὺν δ᾽ ἐβάλοντο μάχεϲθαι ἐναντίον, ὦρτο δ᾽ ἀυτή.
Αἴαϲ δὲ πρῶτοϲ Τελαμώνιοϲ ἄνδρα κατέκτα,
Σαρπήδοντοϲ ἑταῖρον, Ἐπικλῆα μεγάθυμον,
μαρμάρῳ ὀκριόεντι βαλών, ὅ ῥα τείχεοϲ ἐντὸϲ
κεῖτο μέγαϲ παρ᾽ ἔπαλξιν ὑπέρτατοϲ· οὐδέ κέ μιν ῥέα
χείρεϲϲ᾽ ἀμφοτέρῃϲ ἔχοι ἀνήρ, οὐδὲ μάλ᾽ ἡβῶν,

---

V. L. 360 ζαχρειεῖϲ G. κατα D. ΚΡΑΤΕΡΗΝ ΥϹΜΙΝΗΝ Syr. — 361 ΟΡΩΡΕ Syr. — 362 ἄλκιμοϲ omitt. G. — 363 ἅμα ἑπέϲθω CDGS. ΑΜΑ ϹΠΕϹΘΩ Syr. — 364 ὡϲ A. — 365 προϲηῦδα D. — 366 αὖθι omitt. H. ϲὺ καί: καὶ ὁ GH. — 368 κεῖθι εἶμι G. — 369 omitt. G Barocc. αὖθϊϲ CH. εὖ omitt. C in quo man. rec. substituit καί. ἐπιτείλω ἢ ἐπαμύνω E. — 371 ἤϊε A in marg. DGL. ΉΙΕ Syr. — 372 τοῖϲ δ᾽ ἄρα H. πανδήων G. — 373 ΟΥΤΕ ΜΕΝΕϹΘΗ͂ΟϹ Syr. — 374 omitt. Syr. ἐελδομένοιϲι Townl. ἐπειγομένοιϲ δὲ ἵκοντο L. ἵκοντο: ἵκανον S Cant. Vrat. b. pro var. lect. — 375 οἳ δ᾽ D. οἵδ᾽ CGHL. — 377 ϲυν D. ἐβάλλοντο G. — 379 Ἐπικλῆα: Ὀϊκλῆα Apoll. Lex. 140, 20. — 380 ὀκρυόεντι L. ὃ ῥὰ L. ὃϲ ῥὰ G. ὅϲ ῥα D 2. man. — 381 οὐδέ κε μιν CH Syr. κε omitt. D. κεν G. ῥεῖα H. — 382 χείρεϲϲ᾽ ἀμφοτέρῃϲ A in marg. CL. χείρεϲϲ᾽ ἀμφοτέρῃϲιν H Townl. χείρεϲϲιν ἀμφοτέραιϲ E. χείρεϲϲιν ἀμφοτέροιϲιν D. χείρεϲιν ἀμφοτέρῃϲ

---

A. c. 360 ζαχρηεῖϲ Herodianus. — 363 ἀθετεῖται Aristonicus. — 365 Ὀϊλιάδην: ἄρ᾽ Ἰλιάδην Zenodotus, conf. N 694, 712; Ξ 442; O 333. — 366 ϲφῶι: ϲφῶε Zenodotus. — 368 κεῖϲ᾽: ὅτι Ζηνόδοτοϲ γράφει κεῖθι Aristonicus. — 371 εἴρηται (350, 362) ὅτι διεϲκεύαϲται Schol. A. — 372 ἀθετεῖται Schol. V. — 382 χείρεϲϲ᾽ ἀμφοτέρῃϲ ἔχοι Aristarchus: „χειρί γε τῇ ἑτέρῃ ἔχοι“ αἱ κοινότεραι.

οἷοι νῦν βροτοί εἰσ'· ὃ δ' ἄρ' ὑψόθεν ἔμβαλ' ἀείρας,
θλάσσε δὲ τετράφαλον κυνέην, σὺν δ' ὀστέ' ἄραξε
πάντ' ἄμυδις κεφαλῆς· ὃ δ' ἄρ' ἀρνευτῆρι ἐοικὼς
κάππεσ' ἀφ' ὑψηλοῦ πύργου, λίπε δ' ὀστέα θυμός.
Τεῦκρος δὲ Γλαῦκον, κρατερὸν παῖδ' Ἱππολόχοιο,
ἰῷ ἐπεσσύμενον βάλε τείχεος ὑψηλοῖο,
ᾗ ῥ' ἴδε γυμνωθέντα βραχίονα, παῦσε δὲ χάρμης.
ἂψ δ' ἀπὸ τείχεος ἆλτο λαθών, ἵνα μή τις Ἀχαιῶν
βλήμενον ἀθρήσειε καὶ εὐχετόῳτ' ἐπέεσσι.
Σαρπήδοντι δ' ἄχος γένετο Γλαύκου ἀπιόντος,
αὐτίκ' ἐπεί τ' ἐνόησεν· ὅμως δ' οὐ λήθετο χάρμης,
ἀλλ' ὅ γε Θεστορίδην Ἀλκμάονα δουρὶ τυχήσας
νύξ', ἐκ δ' ἔσπασεν ἔγχος· ὃ δ' ἑσπόμενος πέσε δουρὶ
πρηνής, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Σαρπηδὼν δ' ἄρ' ἔπαλξιν ἑλὼν χερσὶ στιβαρῇσιν
ἕλχ', ἣ δ' ἕσπετο πᾶσα διαμπερές, αὐτὰρ ὕπερθε
τεῖχος ἐγυμνώθη, πολέεσσι δὲ θῆκε κέλευθον.
  τὸν δ' Αἴας καὶ Τεῦκρος ὁμαρτήσανθ' ὃ μὲν ἰῷ
βεβλήκει τελαμῶνα περὶ στήθεσσι φαεινὸν
ἀσπίδος ἀμφιβρότης· ἀλλὰ Ζεὺς κῆρας ἄμυνε
παιδὸς ἑοῦ, μὴ νηυσὶν ἔπι πρυμνῇσι δαμείη·
Αἴας δ' ἀσπίδα νύξεν ἐπάλμενος, οὐδὲ διὰ πρὸ

Lips. Eton. χειρί γε τῇ ἑτέρῃ AG Barocc. Mor. Fragm. Mosc. Vrat. b. A. Schol. M 449. ἔχοι A in marg. CGHL Lips. Townl. Eton. φέροι AH sup. Barocc. Mor. Fragm. Mosc. Vrat. b. A. χείρεσσιν ἀμφοτέραις ἢ χειρί γε τῇ ἑτέρῃ ἔχοι τουτέστι κρατοίη ἢ φέροι Eust. 910, 11.

V. L. 383 τῶν οἳ νῦν βροτοί εἰσι Pseudoplut. 115, 49. εἰσι D 2. man. G. ὅδ' CGHL. ἄρ ADEGL. ἐν ἄλλῳ ὁ δέ μιν ῥέα πάλλε καὶ οἷος A. — 384 θραῦσε ἢ θλάσσε E. ἄραξε ACEGH Syr. — 385 ὃ δ' L. ὅδ' CGH. ἄρ DEG. ἀρ A. ἄρ' omitt. L Syr. — 386 ἀφ' ὑψηλοῦ: γρ. ἀπευεργέος A. — 388 ἐσσύμενον S. — 389 ΒΡΑΧΕΙΟΝΑ Syr. — 390 δ' omitt. D. ἄλτο L. ἀλτο C. — 391 εὐχετόῳτο EG. ἐπέεσσι ACDEH Syr. — 395 νύξ' ἐν δ' H. ἔσπας' L. ὃ δ' DL. ὅδ' C. ἐπάλμενος πέσε G. δὲ σχόμενος περὶ δουρί Hesych. IV, 120. βάλε δουρὶ Vrat. b. — 396 ἀμφι D. — 397 ἄρ ADGL. στιβαρῇσι L. — 398 ἥδ' CGL. ὕπερθε ACE Syr. — 399 ἐγυμνώθην D. δ' ἔθηκε H. — 401 στήθεσσι CEHLS Syr. Cant. Lips. Fragm. Mosc. στήθεσφι ADG. — 402 ἄμυνε ACDEGH Syr. — 403 ἐπὶ ACDGHL Syr. πρύμνῃσι libri. δαμείῃ AG. — 404 νύξε μετάλμενος L. οὐδὲ CD 1. man. HL Harl. Fragm. Mosc. Vrat. b. ἡδὲ (ου supra) A. ἡ δὲ D ex corr. EGS. γρ. ἡ C sup. διαπρὸ libri.

A. c. 391 ἀθρήσειε Herodianus, ψιλῶς. — 401 στήθεσσι: στήθεσφι conf. B 388, 544, Ε 452, 822, Μ 151, 425. — 404 οὕτως οὐδὲ διὰ πρό αἱ Ἀριστάρχου. ἡ δὲ κοινὴ ἡ δὲ διὰ πρό Didymus.

ἤλυθεν ἐγχείῃ, ϲτυφέλιξε δέ μιν μεμαῶτα.
χώρηϲεν δ' ἄρα τυτθὸν ἐπάλξιοϲ· οὐδ' ὅ γε πάμπαν
χάζετ', ἐπεί οἱ θυμὸϲ ἐέλπετο κῦδοϲ ἀρέϲθαι.
κέκλετο δ' ἀντιθέοιϲιν ἑλιξάμενοϲ Λυκίοιϲιν·
ὦ Λύκιοι, τί τ' ἄρ' ὧδε μεθίετε θούριδοϲ ἀλκῆϲ;
ἀργαλέον δέ μοί ἐϲτι, καὶ ἰφθίμῳ περ ἐόντι,
μούνῳ ῥηξαμένῳ θέϲθαι παρὰ νηυϲὶ κέλευθον·
ἀλλ' ἐφομαρτεῖτε· πλεόνων δέ τοι ἔργον ἄμεινον.
ὣϲ ἔφαθ', οἳ δὲ ἄνακτοϲ ὑποδείϲαντεϲ ὁμοκλὴν
μᾶλλον ἐπέβριϲαν βουληφόρον ἀμφὶ ἄνακτα.
Ἀργεῖοι δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγαϲ
τείχεοϲ ἔντοϲθεν, μέγα δέ ϲφιϲι φαίνετο ἔργον·
οὔτε γὰρ ἴφθιμοι Λύκιοι Δαναῶν ἐδύναντο
τεῖχοϲ ῥηξάμενοι θέϲθαι παρὰ νηυϲὶ κέλευθον,
οὔτέ ποτ' αἰχμηταὶ Δαναοὶ Λυκίουϲ ἐδύναντο
τείχεοϲ ἂψ ὤϲαϲθαι, ἐπεὶ τὰ πρῶτα πέλαϲθεν.
ἀλλ' ὥϲ τ' ἀμφ' οὔροιϲι δύ' ἀνέρε δηριάαϲθον,
μέτρ' ἐν χερϲὶν ἔχοντεϲ, ἐπιξύνῳ ἐν ἀρούρῃ,
ὥ τ' ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ ἴϲηϲ,
ὣϲ ἄρα τοὺϲ διέεργον ἐπάλξιεϲ· οἳ δ' ὑπὲρ αὐτέων

---

V. ι. 406 χώρηϲε EG. χώρηϲαν C 1. man. D Fragm. Mosc. 1. man. οὐδ' ὅ γε: οὐδέ γε G Mor. Barocc. — 407 ἐέλδετο C 2. man. GH Syr. Mor. Barocc. ἐέλδεται L. ἐέλπετο (δ supra π) A. ἔλπετο E. — 408 ἀντιθέοιϲι καθαπτόμενοϲ S Cant. Townl. ἐλιξάμενοϲ H. — 409 ἂρ DEGHL Barocc. Townl. ἀρ A. τίπτ' ἂρ Vrat. b. μεθείετε H Townl. — 410 δέ μοι ἐϲτὶ ACDEHL. — 411 παρα A. — 412 ἐφομαρτεῖτε EHL Syr. ἐφομαρτεῖτον ACDGS Mor. Barocc. Harl. Fragm. Mosc. Vrat. b. A. ἐφομαρτεῖτον (ε supra ο) Townl. δέ τοι: δέ τι S Cant. Mor. Barocc. δέ τ' G. — 413 ὡϲ A. οἳ δὲ C. ὑποδείϲαντεϲ L: ceteri ὑποδδείϲαντεϲ. — 414 ἐπέβρηϲαν D. βουληφόρον A. ἀμφιάνακτα D. — 416 ἔντοϲθε CD. ἔνδοθεν E. δέ ϲφι G. — 419 οὔτέ ποτ' ACGHL. — 420 ὤϲεϲθαι G Vrat. A. ταπρῶτα G. ΤΑΠΡΩ͂ΤΑ Syr. — 421 οἱ δ' ὥϲτ' Apoll. Lex. 125, 3. οὔροιϲιν H. — 422 ἐπιξύνωι A. — 423 ὥ τ': οἵ τ' Townl. ἐνι AD. ἐρίζετον DG Townl. ἴϲηϲ: νίκηϲ Apoll. Lex. 169, 33. — 424 ὡϲ AD 1. man. ἂρ S. οἳ δ' D. οἵδ' CGL. αὐτάων DL. post hunc insertus est in GL versus βάλλον ἀμυνόμενοι χαλκήρεϲιν ἐγχείῃϲιν, conglutinatus ex Μ 155 et Ϲ 534.

---

A. c. 407 ἐέλπετο Aristarchus: alii ἐέλδετο. — 412 ἀρίϲταρχοϲ ἐφαμαρτεῖτε, ἄλλοι δὲ ἐφομαρτεῖτον, ἄλλοι δὲ ἐφομαρτεῖτε Didymus, conf. ad Ψ 414 διχῶϲ ἀλλ' ἐφαμαρτεῖτον. — 420 οὕτωϲ πέλαϲθεν ἰακῶϲ Didymus. — 423 Ζηνόδοτοϲ ὥτ' ὀλίγῃ ἐνὶ χώρῃ Didymus.

δῄουν ἀλλήλων ἀμφὶ ϲτήθεϲϲι βοείαϲ
ἀϲπίδαϲ εὐκύκλουϲ λαιϲήϊά τε πτερόεντα.
πολλοὶ δ' οὐτάζοντο κατὰ χρόα νηλέϊ χαλκῷ,
ἠμὲν ὅτεῳ ϲτρεφθέντι μετάφρενα γυμνωθείη
μαρναμένων, πολλοὶ δὲ διαμπερὲϲ ἀϲπίδοϲ αὐτῆϲ.
πάντῃ δὴ πύργοι καὶ ἐπάλξιεϲ αἵματι φωτῶν
ἐρράδατ' ἀμφοτέρωθεν ἀπὸ Τρώων καὶ Ἀχαιῶν.
ἀλλ' οὐδ' ὣϲ ἐδύναντο φόβον ποιῆϲαι Ἀχαιῶν,
ἀλλ' ἔχον ὥϲ τε τάλαντα γυνὴ χερνῆτιϲ ἀληθήϲ,
ἥ τε ϲταθμὸν ἔχουϲα καὶ εἴριον ἀμφὶϲ ἀνέλκει
ἰϲάζουϲ', ἵνα παιϲὶν ἀεικέα μιϲθὸν ἄρηται·
ὣϲ μὲν τῶν ἐπὶ ἶϲα μάχη τέτατο πτόλεμόϲ τε,
πρίν γ' ὅτε δὴ Ζεὺϲ κῦδοϲ ὑπέρτερον Ἕκτορι δῶκε
Πριαμίδῃ, ὃϲ πρῶτοϲ ἐϲήλατο τεῖχοϲ Ἀχαιῶν.
ἤϋϲεν δὲ διαπρύϲιον Τρώεϲϲι γεγωνώϲ·
    ὄρνυϲθ' ἱππόδαμοι Τρῶεϲ, ῥήγνυϲθε δὲ τεῖχοϲ
Ἀργείων καὶ νηυϲὶν ἐνίετε θεϲπιδαὲϲ πῦρ.
    ὣϲ φάτ' ἐποτρύνων, οἳ δ' οὔαϲι πάντεϲ ἄκουον,
ἴθυϲαν δ' ἐπὶ τεῖχοϲ ἀολλέεϲ. οἳ μὲν ἔπειτα
κροϲϲάων ἐπέβαινον ἀκαχμένα δούρατ' ἔχοντεϲ,
Ἕκτωρ δ' ἁρπάξαϲ λᾶαν φέρεν, ὅϲ ῥα πυλάων

V. l. 425 ΔΗΟΥΝ Syr. δηΐουν DH. δῄουν ἢ δηΐουν E, conf. Ε 452. ϲτήθεϲφι Vrat. A. — 426 ἐϋκύκλουϲ C. — 427 κατα D 1. man. — 428 ὅτεῳ: ὅτῳ A Ambr. CEGS Schol. Ο 449. ὅτω DHL Syr. γυμνωθέντι L. — 430 πάντῃ AEH Schol. Φ 20. πάντη Ambros. CDGL Syr. δή: δὲ G. δ' οἱ L. — 431 τρῴων L. — 432 omitt. Ambrosianus. ὣϲ: libri ὥϲ. A ὡϲ. — 433 ἔχεν Apoll. Lex. 149, 4. ὥϲ τε: ᾧτε Cram. Epim. 446, 23 et 28 diserte. ᾧτε Io. Alexandr. 32, 6 et Et. Mg. 825, 23 pro ὡϲείτε. χερνήτηϲ Apoll. Lex. ἀλῆτιϲ Apoll. Lex. 24, 9. — 434 εἰρίον D 2. man. E. — 435 ἄροιτο Rhet. Gr. II 295, 27. ἕληται Schol. Π 7. — 436 ὡϲ AD 1. man. ἐπι D. ἴϲα G. πόλεμοϲ Lips. Flor. — 437 δὴ omitt. C 1. man. ΥΠΕΡΤΑΤΟΝ Ambros. δῶκε A Ambr. CEGH Syr. — 438 ἐϲύλλατο L. — 439 ἤϋϲε DG. τρῴεϲϲι L. δαναοῖϲι H. — 440 τρῷεϲ L. ῥήγνυϲθέ τε L. — — 441 ἐνΐετε H. ἐνείετε Townl. — 442 ὡϲ A. ἔφατ' AE. οἳ δ' D. οἵδ' CGHL. — 443 οἳ μὲν C. — 445 λάαν DGH. ὃϲ ῥὰ DGL.

A. c. 428 Zenodotus ὅτεῳ: altera lectio ὅτῳ videtur Aristarcho deberi. — 430 Aristarchus δή: δ' ᾗ Tyrannio. — 433 ᾧτε Herodianus teste Eustath. 117, 39. — 435 οὕτωϲ μετὰ τοῦ ν ἀνεικέα, ἔξω νείκουϲ. ἄμεινον δέ φηϲιν (sc. Ἀρίϲταρχοϲ) ἀεικέα, τὸν εὐτελῆ. ἐν δὲ τῷ πρὸϲ τὸ Ξένωνοϲ παράδοξον προφέρεται ἀμεμφέα μιϲθόν Didymus. ἔν τιϲι μετὰ τοῦ ν ἀνεικέα, ἔξω νείκουϲ Schol. A. — 444 ἀκαχμένα δούρατ' ἔχοντεϲ: ἐπεὶ θεοῦ ἔκλυον αὐδήν Zenodotus, conf. Ariston. ad 439 et 442.

ἑϲτήκει πρόϲθε, πρυμνὸϲ παχύϲ, αὐτὰρ ὕπερθεν
ὀξὺϲ ἔην· τὸν δ' οὔ κε δύ' ἀνέρε δήμου ἀρίϲτω
ῥηιδίωϲ ἐπ' ἄμαξαν ἀπ' οὔδεοϲ ὀχλίϲϲειαν,
οἷοι νῦν βροτοί εἰϲ'· ὃ δέ μιν ῥέα πάλλε καὶ οἶοϲ.
τόν οἱ ἐλαφρὸν ἔθηκε Κρόνου πάιϲ ἀγκυλομήτεω.
ὡϲ δ' ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἄρϲενοϲ οἰὸϲ
χειρὶ λαβὼν ἑτέρῃ, ὀλίγον τέ μιν ἄχθοϲ ἐπείγει,
ὣϲ Ἕκτωρ ἰθὺϲ ϲανίδων φέρε λᾶαν ἀείραϲ,
αἵ ῥα πύλαϲ εἴρυντο πύκα ϲτιβαρῶϲ ἀραρυίαϲ,
δικλίδαϲ ὑψηλάϲ· δοιοὶ δ' ἔντοϲθεν ὀχῆεϲ
εἶχον ἐπημοιβοί, μία δὲ κληὶϲ ἐπαρήρει.
ϲτῆ δὲ μάλ' ἐγγὺϲ ἰών, καὶ ἐρειϲάμενοϲ βάλε μέϲϲαϲ,
εὖ διαβάϲ, ἵνα μή οἱ ἀφαυρότερον βέλοϲ εἴη,
ῥῆξε δ' ἀπ' ἀμφοτέρουϲ θαιρούϲ· πέϲε δὲ λίθοϲ εἴϲω
βριθοϲύνῃ, μέγα δ' ἀμφὶ πύλαι μύκον, οὐδ' ἄρ' ὀχῆεϲ
ἐϲχεθέτην, ϲανίδεϲ δὲ διέτμαγεν ἄλλυδιϲ ἄλλη
λᾶοϲ ὑπὸ ῥιπῆϲ. ὃ δ' ἄρ' ἔϲθορε φαίδιμοϲ Ἕκτωρ
νυκτὶ θοῇ ἀτάλαντοϲ ὑπώπια· λάμπε δὲ χαλκῷ
ϲμερδαλέῳ, τὸν ἕεϲτο περὶ χροΐ, δοιὰ δὲ χερϲὶ

---

V. L. 446 ἑϲτήκει CEHS Cant. Lips. Fragm. Mosc. Vrat. A: εἱϲτήκει ADGL. ΙϹΤΉΚΕΙ Syr. πρόϲθεν CEL. ὕπερθε D. — 447 κεν GL. δύω CG. — 448 ἐπάμαξαν D. ἐφ' ἅμαξαν CGL Mor. Vrat. b. ὀχλίϲειαν EL 1. man. S. ὀχλήϲειαν DG Mor. Barocc. — 449 τῶν οἳ νῦν βροτοί εἰϲι Pseudoplut. 115, 49. εἰϲι DG. ὃ G. — 450 θῆκε S Cant. πάιϲ: libri παῖϲ. — 451 δ' omitt. E. φέροι Townl. — 452 ὀλίγον τε CDEGHLS Syr. Cant. Mor. Harl. Fragm. Mosc. ὀλίγόν τε A. vulgo ὀλίγον δέ, cui scripturae fides est nulla. — 453 ὡϲ AD 1. man. — 454 αἳ ῥὰ G. ΡΑΤΕΠΥΛΑϹ Syr. — 455 ἔκτοϲθεν Townl. — 456 ἐπημοιβοὶ G. ΚΛΗΕΙϹ Syr. — 457 ἐν ἄλλῳ ϲτῆ δ' ἀρ ἐπουδὸν ἰὼν A. μέϲαϲ E. — 458 οἳ: libri οἱ. — 459 ἀπ' omitt. D. ἐπ' CG Syr. Vrat. b. 2. man. Eton. Fragm. Mosc. θηροὺϲ L. δὲ: δὴ G. δ' αὖ L. — 460 ἀμφι DH. ἆρ ADEGL. — 461 ϲχεθέτην G. δὲ omitt. Syr. διέτμαγον DG ex corr. HL Flor. ἄλλῃ E. — 462 ὑπὸ AD GH Syr. Et. Mg. 552, 57. Cram. An. Ox. III, 385, 11. Schol. Soph. Oed. Col. 195. Bekk. Anecd. 1181, 1219, 1259: ὑπαὶ CL Schol. M 12. Eust. 387, 21; 1447, 53. ὑπὸ ἢ ὑπαὶ E. ὅδ' CGHL. ἆρ DGL. ἀρ A. ἄρ' omitt. H Schol. Π 558. — 464 ἕεϲτο CDH. χερϲὶ ACG Syr.

---

A. c. 446 ἀρίϲταρχοϲ ἑϲτήκει χωρὶϲ τοῦ ῑ Didymus. — 450 καὶ Ἀριϲτοφάνηϲ ἠθέτει. Ζηνόδοτοϲ δὲ οὐδὲ ἔγραφεν Didymus. — 451 οὕτωϲ διὰ τοῦ ε̄ φέρει Didymus. — 458 μή οἱ scribendum est, non μή οἱ, propter reflexivam pronominis notionem, conf. H. U. 144 sq. — 462 λᾶοϲ Herodianus. ὑπὸ Herodianus: ὕπο Tyrannio. de ὑπαὶ conf. H. U. 62.

δοῦρ᾽ ἔχεν. οὔ κέν τίϲ μιν ἐρύκακεν ἀντιβολήϲαϲ
νόϲφι θεῶν, ὅτ᾽ ἐϲᾶλτο πύλαϲ· πυρὶ δ᾽ ὄϲϲε δεδήει.
κέκλετο δὲ Τρώεϲϲιν ἑλιξάμενοϲ καθ᾽ ὅμιλον
τεῖχοϲ ὑπερβαίνειν· τοὶ δ᾽ ὀτρύνοντι πίθοντο·
αὐτίκα δ᾽ οἳ μὲν τεῖχοϲ ὑπέρβαϲαν, οἳ δὲ κατ᾽ αὐτὰϲ
ποιητὰϲ ἐϲέχυντο πύλαϲ. Δαναοὶ δὲ φόβηθεν
νῆαϲ ἀνὰ γλαφυράϲ, ὅμαδοϲ δ᾽ ἀλίαϲτοϲ ἐτύχθη.

---

V. l. 465 ЄΧΟΝ Syr. οὔ κεν τίϲ L. οὐκ ἄν τίϲ ACEGHS Syr. Schol. N 1. οὐκ ἂν D, accentus 2. man. ἐρυκάκοι libri cum Schol. N 1. ἐρυκάκη D. — 466 πέρι δ᾽ ὄϲϲε L. περὶ δ᾽ Cant. Vrat. b. pro var. lect. δεδήει DEH. ὄϲϲἐδεδήει G. — 467 τρώεϲϲι ἑλιξάμενοϲ L. — 468 ὀτρύνοντοϲ ἄκουϲαν Schol. M 12. — 469 οἳ μὲν C. οἳ δὲ C. — 470 ΔЄΦΟΒΗΘЄΝ Syr. δὲ φόβηθεν Townl. Fragm. Mosc. ceteri δ᾽ ἐφόβηθεν. — 471 ἀνα AD.

---

A. c. 465 ἀρίϲταρχοϲ οὔ κέν τίϲ μιν ἐρύκακεν ἀντιβολήϲαϲ Didymus. — 468 οὕτωϲ διὰ τοῦ ō ὀτρύνοντι Didymus. alii igitur ὀτρύναντι, conf. β 422, ι 488, 561, ξ 79, ο 217, 287.